£50
[Ctesias]
Two works in one vol.

Both c/p AGT 1977

ΕΚ ΤΩΝ ΚΤΗΣΙΟΥ, ΑΓΑΘΑΡΧΙΔΟΥ, ΜΕΜΝΟΝΟΣ

ἱστορικῶν ἐκλογαί.

ΑΠΠΙΑΝΟΥ Ἰβηρικὴ καὶ Ἀννιβαϊκή.

Ex Ctesia, Agatharchide, Memnone excerptæ historiæ.

Appiani Iberica. Item, De gestis Annibalis.

Omnia nunc primùm edita. Cum Henrici Stephani castigationibus.



EX OFFICINA HENRICI
Stephani Parisiensis typographi.

AN. M. D. LVII.

HENRICVS STEPHANVS Carolo Sigonio S. D.

MEMINISTI'NE Carole, uir charissime, quum anno superiore tecum Venetijs bibliothecam Bessarionis unà cum duobus Venetis patricijs ingrederer, quis à nobis habitus fuerit sermo? Henrice (aiebas) si quidem tantum laboris atque temporis, tantum etiam pecuniarum in congerendos ex omnibus nostræ Italiæ bibliothecis libros impendis, eo animo ut aliquando ex longa ista peregrinatione domum reuersus, eos typis tuis excusos edas: tuis conatibus faueo, & tuam istam laudo atque amplector diligentiam. Sin futurum est (quod quidam de te suspicātur) ut tu his solus, quasi in sinu, aut cum paucis amicis gaudeas, nec publicæ literatorum utilitatis interim rationem ullam habēdam tibi putes: ego certè tantum otij ad conquirēdos istos scriptores & tantum nummorum ad emendos tibi inuideo. Tum ego ad hæc, Equidem longè falleris mi Carole, si me eum esse existimas cui aliud nunc in serendo propositū sit quàm ut, quūprimum potero, ea quæ mihi aliquo cū fœnore ager reddiderit, metam: & quidem qualem sementem fecerim, talē etiam messem colligam. Quale enim istud esset, ex satis pecunijs non alium me quàm oblectationis fructum decerpere? Ita tamen, ut ingenuè fatear, illam quoque mihi spectandam esse duco, ut, dummodo sortem qualem deposui recipiam, uoluptatem (cuius ego quasi primitias ex ista mea merce perceperim) in fœnus mihi ex parte, aut omnino etiam censeri minimè recusem. His tum, aut ualde his affinibus uerbis ora-

tionem me tuam excipere memini. Quæ ego uerè ne & ex animo, an mente ſimulata loquerer, ſi antea dubitaſti, at nunc locus dubitationi ſupereſſe nullus poteſt. Vides enim ut iſtos hiſtoriarum libellos (qui non infimū ſanè in mea bibliotheca locum obtinebant) inde in publicum literatorum, ac præſertim hiſtoriæ amantium, uſum deprōpſerim. Quam tu quum non ames ſolùm, ſed ab ea redameris etiā (quippe quæ, quòd eius ueritatis diligētiſſimus indagator fueris, & à multis eā mēdacijs uindicaueris, multum tibi debeat ac ſemper debitura ſit) cui potius quàm tibi dicandos illos eſſe putauiſſem? Verùm, ut in alijs omnibus rebus, ita etiam in hiſtoriæ lectione, ἄλλος ἄλλοις καρδίην ἰαίνεται· nimirum prout uel μοναρχία, uel ἀριστοκρατία, uel δημοκρατία magis alicuius iudicio probatur, magíſque erga hāc uel illam eius propenſa eſt uoluntas. Ad me certè quod attinet, Perſicarum rerum hiſtoria, non ob aliud quàm quòd μοναρχικὸς eſſem, mirificè mihi ſemper placuit. Non aliunde autem μοναρχικὸν potius quàm ἀριστοκρατικὸν aut δημοκρατικὸν factum fuiſſe me exiſtimo, quàm quòd ἐν μοναρχουμένῃ χώρᾳ non ſolùm naſci, ſed educari etiam mihi contigiſſet. Quum igitur Perſica hiſtoria neſcio quomodo impenſius quàm alia delectarer ulla, accuratiſſimè quæ ad eam pertinebant omnia ſemper conquiſiui: ijs etiam quæ de ea paſſim apud authores Græcos pariter atque Latinos leguntur, unum in locum, in memoriæ ſubſidium, collectis. Quum autem res Perſicas cum ab alijs, tum uerò à Dinone & Cteſia memoriæ mandatas fuiſſe, ex Strabone, Plutarcho, Athenæo, & quibuſdam alijs intellexiſſem,

utrũque illorum scriptorum, aut saltẽ ex utroque aliquid consequi mihi semper optatissimum fuit. Sed quum timerem ne uoti immodicus, ut quidam dixit, iudicarer; illius uela contrahens, meam, quæ antea circa duos occupata erat, ad unum, uidelicet ad Ctesiam, cœpi restringere diligentiam. Qua quidem tantum effeci tandem, ut ex hoc authore non plura quidem quàm olim concupiuissem, sed plura quàm sperare mihi fas esse iã putarem, & ea etiam de quibus ne cogitaram quidem, nanciscerer. Etenim quum primò quidem περσικὰ eius integra in manus meas peruenire ualde optauissem, mea postea sic ratio fuit, ut si uel qualescunque ex illis scriptis ἐκλογὰς (quales ex nonnullis alijs authoribus, quorum libri sunt amissi, habebam) adipisci possem, præclarè mecum agi existimare deberem. Hæc quũ ita apud me statuissem, ecce, cum historia Persica, etiam Indica non inuenta reperta est. Imò uerò unde has ἐκ τῶν Κτησίου περσικῶν καὶ ἰνδικῶν ἐκλογὰς habui, inde etiã hæc ex Agatharchidæ & Memnonis scriptis, quasi ex abũdanti, accepi, adeò ut planè (quod aiunt) μεῖζον fuerit τοῦ ἔργου τὸ πάρεργον. Nam uel unum Memnonem mihi fœlicissimum ἕρμαιον obtigisse persuasum habeo. Qui utinam totus, aut pro eo Nymphis (qui eandem ante illũ literis prodiderat historiã,) ad nos peruenisset. Sed eius saltẽ historiæ partẽ longè, ut auguror, utilissimam, & eam quidem nunus κατ' ἐπιτομὴν, quàm quæ ex alijs duobus historicis, excerptam, nacti sumus. Quam etiam tibi uel eo nomine quòd cum rerum Romanarum mentione coniuncta sit, multo fore cæteris gratiorem suspicor. Quarum quoniam non tu solùm sed & alij

¶.iij.

multi plenã & certam cognitionem (quatenus ex ijs qui extant authoribus capi potest) consequi ualde desiderãt: ut tibi & omnibus eodem quo tu desiderio incensis ali quid gratificarer, Appiani quoque duobus libris longè omnium ad eam rem commodissimis locum in hoc uolu mine dare non dubitaui. Vnum doleo, mi Carole, melio-ribus exemplaribus in Appiano præsertim uti me non potuisse. Et reliqua quidem cæterorũ antigrapha unde habuerim, nosti: Appiani autem exemplar, ne sis ne-scius, ab Arnoldo Arlenio (cui & aliorum quorundam scriptorum editionem literati acceptam ferre debent) accepi. sed id certè adeò deprauatum, ut ille quo mihi ipsum tempore primùm dedit, nihil minus quàm fore ut unquam tanto cum literatorũ fructu ederẽtur hi duo Appiani libri, sperare auderet. Nec uerò tũ ei illos me excusurum recepi, tanta & ipse deprauatione deter-ritus: uerùm ut, si illos edere & aliorum omnium studijs utiles efficere non possem, meis saltem aliquod ex ijs emolumentum non inuideret, rogaui. Et, ut uerum fatear, quum de illis corrigendis omnino desperassem, nempe de eorum etiam editione desperare mihi necesse erat. Sed enim ego tãdem, qui à docto audita hæc memi nissem uiro, ἁλωτὰ γίγνεται πόνῳ καὶ ἐπιμελείᾳ πάντα, ad eo-rum emendationem aggredi cœpi. & initio quidẽ di-ci non potest quantum quàm paruo cum fructu labora-uerim, quoties ungues roserim, & acriter quidem in-terdum (dum aliud cogito) momorderim, quoties terrã immerentem pedibus tundere solitus sim, quoties libra-rium deuouerim, quoties librum tandem iratus abiece-rim: quoties denique ipsi etiam Arnoldo (quod ille bili

meæ condonet uelim) licet absenti, grauissimè ob eius δῶρον, quod ἄδωρον esse dicebam, succensuerim. Sed tādem noua quadam patientia armatus (nunquam enim me tam patientem tam corrupti exemplaris lectorem præbueram) duos illos libros percurro totos: & primùm quæcunque ex locorum collatione emendare possum, emendo: deinde & ex coniectura locos aliquot etiam ex deploratissimis sano. Postremò quum ad quos ueluti scopulos offendere soleret librarius, usu longo obseruassem, ideóque eos semper multo antè præuidens, suspectos haberem: certam quandā, qua ab illis eum auerterem, rationē iniui. Scopulos autem hîc appello (tibi enim meam ἀλληγορίαν explicare uolo) eas omnes uoces quæ sunt, prout uel hoc uel illud significant, διπλογραφούμεναι: illa itē omnia quæ uel coniunctim uel separatim, sed diuerso sensu, legūtur. Is enim, quisquis fuit, qui librum hūc ex uetustissimo descripsit, quòd, ut opinor, legere eum non potuerit, in ijs uocabulis quæ duobus modis (sed non eadem significatione) scribi possunt, semper eam quæ loco omnino repugnaret, scripturam sequutus est. in ijs item quæ modò coniuncta, modò disiuncta, sed non uno sensu, reperiuntur, in præposterè omnia coiūgendo aut disiungendo constantissimus fuit. Hæc ego quū diligēter ac laboriosè certè obseruassem, hanc adhibere cautionem cœpi, ut quemadmodum eadem praua cōsuetudine in diuersis locis peccasset, itidē & ego eadem arte in illis uti possem corrigendis. Adhibui uerò & alias quasdam τέχνας & μηχανὰς, quibus inexpugnabilia alioqui errorum monstra nō in hoc libro solùm, sed & in alijs κατεστρατήγησα: eas ab huius seculi (quod ad doctrinam attinet) clarissimo lumine Petro

¶.iiij.

Danesio olim præceptore meo edoctus. qui uir quàm fœlici ad eluendas abstrusissimas etiam librorũ labes & maculas præditus sit ingenio, nõ Gallia solùm nostra, sed & tua Italia optimè iampridem nouit. Ab eo autem quum discessi, nullos qui maiori cum dexteritate & fœlicitate id præstent, inuenio, quàm duos magni apud nos nominis uiros, Adrianum Turnebum & Ioannem Auratum: quos, pro sua modestia, primum illi à me datum esse locum, nequaquam molestè laturos esse certò scio. Sed caue Sigoni ne in ea sis opinione, ut me in ipso contextu alia errata emendasse existimes, quàm ea in quibus meæ castigationi ne is quidem qui uel à limine solùm Græcas literas salutasset (nisi quodam contentionis & reprehensionis studio) repugnare potuisset. Nã quæcunque menda talia non erant, ea in contextu reliqui: nequaquam tantum, ut uel literam unam aut accentum immutare auderem, mihi sumens. sed aliquot adiunctis libro paginis, in ijs, quæ certissima mihi esse uideretur eorum castigatio, & quibus etiam coniectura mea argumentis niteretur, exposui. Quũ autẽ uererer ne nimiũ religiosi alicuius lectoris conscientiæ scrupulũ ob emendatos illos in contextu locos iniicerem, eorũ unà (licet, uti dixi, nemo meæ in illis castigationi refragari posse uideretur) omnibus reddendam esse rationem, & mendosam exemplaris lectionem prius, deinde à me emendatam proferendam esse censui. Supersunt tamen pauculi loci, quos aut meliori alicui exemplari (præsertim eos in quibus uerba etiam nonnulla desunt) aut uni ex tribus illis à me modò nominatis uiris seruari debere iudicaui. Porrò hos libellos, nisi adiuncta eorum in-

terpretatione Latina (quam inuitus nunc differo) foras dare non statueram. Cuius expectatio quamuis aliquãdiu eorum editionem remorata sit, nunc tamen in lucem sat citò, si sat benè, prodire illos existimo. Vale mi Carole. Bernardinum Lauredanum, & Michaelem Sophianum, cæterósque communes amicos uerbis meis salutes uelim.

HENRICI STEPHANI DE Ctesia historico antiquissimo disquisitio.

QVI melius, qui certius de rebus Persicis scribere potuerit quàm Ctesias, arbitror fuisse neminem. Quod quo magis mihi persuadeo sempérq; persuasi, eo certè magis (vt homo Persicæ historiæ studiosissimus) aliquam eius scriptorum partem in quopiam bibliothecæ angulo reperire posse desidero ac semper desideraui. Nam istæ ex eius scriptis ἐκλογαὶ tantum abest vt desiderio meo satisfaciant, vt illud, non aliter quàm ex longo contractam sitim pauculæ aquæ guttæ, multo vehementius accendãt. Vt autem Ctesiæ tantum tribuam cum alia multa faciũt, tum verò quòd illum à Xenophõte laudatissimo authore laudari videam. Eum enim cuius vnius ex omnibus ab illo citetur testimonium, vt locupletissimum, laudari certè, & magnificẽtissimè quidem, interpretor. Vnde fit etiã, vt Plutarcho, modestissimo alioqui & prudentissimo scriptori, succenseã: qui ita huius historici mores exagitat, vt omnibus modis suspectã nobis eius reddere velle videatur fidem. Sed quum duo in historico requirantur, & posse & velle de rebus verè scribere: primùm, an id præstare potuerit,

videamus: deinde de eo, an voluisse verisimile sit, disputabimus. At illud vel ipse Plutarchus nobis testabitur: & testatus erat ante eum laudatissimus, vti dixi, scriptor Xenophon. Respondeāt igitur pro me ambo: Xenophon quidem in libro Κύρου ἀναβάσεως primo, his verbis, vbi narrat vulneratum à Cyro Artaxerxem regem, eius fratrem, καὶ παίει κατὰ τὸ στέρνον, καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας ὁ ἰατρός. καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φησι. & paucissimis interiectis verbis, ὁπόσοι μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθανον, Κτησίας λέγει· παρ' ἐκείνῳ γὰρ ἦν. Plutarchus autem initio Ἀρτοξέρξου (ita enim illic nominatur, consentientibus etiam veteribus exemplaribus) hæc scribens, ἀλλὰ τὸν Κτησίαν οὐκ εἰκός ἐστιν ἀγνοεῖν τοὔνομα τοῦ βασιλέως παρ' ᾧ διέτριβε, θεραπεύων αὐτὸν καὶ γυναῖκα καὶ μητέρα καὶ παῖδας. Et pagina illius libri secunda, Κτησίας δὲ, ὃν οὔτε ἀγνοεῖν τὸν χρόνον εἰκός ἐστι, παρόντα ταῖς πράξεσιν, οὔτε ἑκὼν αἰτίαν εἶχεν ἐκ τοῦ χρόνου μεταστῆσαι τὸ ἔργον ὡς ἐπράχθη διηγούμενος. Ex his igitur quum res omnes compertas exploratásque Ctesiam habere potuisse, (præsertim quum medicorum apud reges multo maior tūc tēporis quàm nunc authoritas esset) & vt de compertis atque exploratis verè scribere potuisse intelligamus: nunc an cū (vt φιλαλήθη, id est veritatis amatorē) id etiā voluisse probabile sit, consideremus. Nimirum & de hoc ἁπλοῦς ὁ λόγος. Nam si mentiri volebat Ctesias, nempe assentationis studiū in causa fuisse dicamus necesse est. Si assentator erat, certè mentiendo, eius auribus à quo plurimum cōmodi expectabat, aliquid dare, eiúsq; ambitioni subseruire sibi propositū habebat. A quo autē plura quàm à rege suo aut à regis matre sperare eum par erat? Superest igitur vt Ctesiam, dum Artaxerxi & Parysatidi statuit adulari, falsam illis laudem in historia sua plerūque affinxisse existime-

mus. Atqui tantum abest vt iis, ac Paryſatidi præſertim, falſam laudem affinxerit, vt veram potius detraxiſſe, ex iis paſſim quæ de ea commemorat, omnibus videri poſſit. Et de his quidem ita loquor, quaſi ante illorum obitum hiſtoriam ſuam edidiſſe Cteſiã conſtet. Nam ſi poſt eorũ obitum in lucẽ ab eo prolatam fuiſſe credamus, quomodo eum huius culpæ, imò vel huius ſuſpicionis dicere affinẽ fuiſſe audebimus? Quod autẽ ad res Indicas attinet, profectò mendacii illũ multis in locis nemo non facilè ſuſpectũ habuerit: ſed quotuſquiſque eſt qui conuincere queat & coarguere? Neſcio (reſpondebit quiſpiã) quis eo tẽpore potuerit: at nũc poſſunt mercatores noſtri qui illuc & ipſi nauigant. At in'tu?at vnde illis, vt, quũ ſint ἀναλφάβητοι, idcóque iudicio eo quod literis & doctrina quæritur, omnino careant: obſeruare & obſeruata aliis poſtea cõmemorare eadem quæ viri docti, poſſint? Ne longè abeamus, vnde homini omniũ literarum rudi, vt ligni παρήβου dicti naturam ita animaduertiſſe, & animaduerſam ita queat deſcribere vt hoc in libello à Cteſia deſcriptã habemus? vt omittam illud quod pro artis ſuæ (quũ medicus eſſet) ſolertia, vt obſeruauit, ita & obſeruaſſe debuit: nimirum illud lignum δίδοσθαι τοῖς κοιλιακοῖς βοήθημα. vel tale quid quale alio quodam loco narratur? nẽpe aut miram cuiuſdam radicis ad corrigendum nimium lactis vſum virtutem: aut, quod de aſinorũ ſylueſtriũ cornu refert? qui è poculis ex eorũ cornu cõfectis biberint, neq; ſpaſmo eos, neq; comitiali morbo corripi: ſed neque, dũmodo aut vinũ aut aquam aut poculẽtũ aliquid aliud ex huiuſmodi poculis bibant, illos hauſto aut antè aut pòſt minimè interire veneno? Nequaquã profectò ab imperitis iſtis mercatoribus expectãda hæc narratio fuerit. quid igitur illi

narrabunt? nimirum ſe vidiſſe ſyluestres aſinos cor-
nu in fronte geſtantes, quod cuius coloris eſſet diſ-
cernere non potuerint, ſed nec ſatis eius magnitudi
nem cōſiderauerint. Hāc autem vim huic cornu eſſe
inſitam, tam ſunt neſcii, quàm ii qui nunquā ne In-
dorum quidem nomen audiuerūt. Hæc autem à me
idcirco hîc dicuntur, lector, vt quoties in quoſdam
homines incides, qui plus fidei de illis rebus, merca-
toribus etiam literarum imperitis, quàm vel doctiſſi
mis antiquis ſcriptoribus adhibendū eſſe credunt,
in prōptu tibi quod illis nugatoribus reſpōdeas, eſſe
poſſit. Quòd ſi quis me roget, an nec Cteſiæ, nec aliis
vetuſtis authoribus rerum huiuſmodi hiſtoriā de-
ſcribētibus derogādam arbitrer eſſe fidem, ille à me
hoc reſponſum feret: me domi & in patria mea tot
tantáque rerum videre paſſim miracula, vt quū illos
qui de peregrinarum regionum miraculis ſcripſerūt
lego: tum demum velim, Scepticam vſurpans ἐπο-
χὴν, dicere οὐ μᾶλλον, id eſt οὐ μᾶλλον πιστεύω, ἢ οὐ πιστεύω. ſi
tantùm illa excipias quæ ita à ratione abhorrent, vt
ne ipſe quidem ſenſus communis ea quenquā pa-
tiatur admittere. Quid ſi verò, quo magis tales ſunt
res aliquæ, eo etiā magis inter miracula, ſed non in-
ter incredibilia tamen referēdæ ſint? Nam vel iſtud
quale ſit conſidera. Fuerunt nonnulli priſco ſeculo
homines, qui quod de quadam Indica aue narraba-
tur, eam videlicet in India, Indicum, illinc in Græciā
tranſportatam, Græcum ſermonem diſcere, & homi
num more articulatas diſtinctáſque voces tandem
proferre: hoc vt planè abſurdum & ineptum com-
mentum, exſibilandum explodendúmque eſſe di-
xerint. Quinam? nempe non alii quàm quibus huiuſ
modi auem ex Indicis oris aduectam videre nun-
quā contigiſſet. Nam Ouidius & Statius, fortaſſe &

ipſi, hominem id commemorantem, vt apertè mendacem, aliquando riſu exceperant: at poſtquã ipſam illis datũ fuit auem cernere & audire, quã ea de re famæ & aliorũ ſermoni adhibere fidem noluerãt, eam ſuis ipſorum oculis adhibere coacti fuerunt. Et, vt illos taceamus, hodiéque vulgaris eſt adeo illa auis, vt extare aliquem qui dicat incredibile eſſe quod de illa narratur, id demum nobis planè ſit incredibile. Quem enim, pſittacum (quem βίτακον Cteſias hìc appellat) præter illum Veronenſem Claudiani ſenem, aut aliquem illi ſimilem, nunquam vidiſſe putabimus? Finge tamen reperiri ſenem aliquem (& reperiuntur forſitan aliquot ex illis etiam qui in vrbibus degunt) qui nunquã eam volucrẽ viderit, aut, ſi viderit, loquentem certè nunquam audierit: an eũ qui hãc illi aui inditã eſſe naturam affirmabit, fidem apud huiuſmodi hominem impetraturũ reris? Hoc certè ſi credis, longè falleris. His igitur tandem hũc ſermonem claudamus verbis. Quemadmodum ſi pſittacus nũquam ex India aduectus ad nos fuiſſet, auem apud Indos eſſe humanas voces ſonantem nemo crederet: nunc verò, quoniam vulgaris eſt illa, vix quiſquam hoc miraculi loco habet: itidem etiã multa de aliis Indicis animalibus referri, & de plantis atque arboribus, nominatim etiã de quibuſdam radicibus, item de aquis, de metallis, de aliis denique multis illi regioni peculiaribus rebus commemorari, quæ multorum fidem ſuperant: at ſi tam facilis illarum rerum, quàm pſittaci, aſportatio eſſet, tam facilè firma ab omnibus perſuaſione reciperentur, quàm ea quæ de pſittaco ſcripta ſunt, recipiuntur. Ergo quod Plutarchus Cteſiæ Perſicis tribuit μυθῶδες (apud eum corruptè legitur θυμῶδες) ego id in eum, ne in Indicis quidem, nedum in Perſicis,

cadere existimo. At erat φιλολάκων. Fuerit verò φιλαθηναῖος, fuerit φιλοθηβαῖος. quid tum? Hoc certè vt aliquo in loco Lacedæmoniorum auribus aut Atheniensium aut Thebanorum potius quàm veritati seruiret, facere potuisse dixerim: at ex vna historiæ particula totam illam mendacii arguere, hoc ego iniquissimi iudicis esse censuerim. Sed Plutarchũ, aliquo præiudico fortasse præoccupatum, quicquid libuerit, impunè scribere sinamus, & de Ctesiæ Persicis, penes ipsos Persas: de Indicis, penes Indos esto fides. Hic certè libellus, qualis qualis est, si aliud quo commendaretur, non haberet, vel hoc vnum abũdè ad eius cõmendationem valere posset, quòd aliquot cum ab aliis, tum verò à Plinio citati in eo reperiantur loci. Sunt verò & maximè memorabiles in eo & minimè tamen vulgares historiæ. quarum vnam, lector, Latino sermone interpretatam, proferam: διήγημα certè huiusmodi quod rhetori cuipiam χρείας pulcherrimæ argumentum, poetæ, iocoso quidem, facetorum epigrammatum: seuero autem, grauissimæ tragœdiæ amplissimam suppeditare possit materiam. Mortuo, inquit, Megabyzo, vxor eius Amytis, libidinosa matre filia libidinosior, summè virorum erat appetens, & suam vndique explebat libidinem. Fortè accidit vt ægrotaret, nõ graui morbo illa quidem: sed qui tamen medici desideraret opem. Eam igitur inuisens Apollonides medicus Cous, quum iampridem eius esset amore correptus, conualituram illam (vtpote quæ hysterica esset) si cum viro congrederetur, affirmauit. Hac arte fit voti compos Apollonides, & amata potitur Amytide. Verùm tabescentem eam paulatim quũ cerneret, à congressu abstinere cœpit. Illa autẽ tandem quum matri suæ rem totam aperuisset, eam, ne

hant quam ab Apollonide acceperat, inultam impunitámque dimitteret iniuriam, rogauit. Mater, quæ audiuerat, ad Artaxerxen defert: narrátque vt cõgressu eius vsus esset, nec, nisi ea indignis prius abusus modis, illo abstinuisset. Rex matri de his agendi vt vellet, potestatem permittit. Illa igitur comprehensum & in vincula coniectum Apollonidem duos mẽses in tormentis & cruciatibus habuit: tandem verò viuum etiam defodit. Hic iam mihi lector (quod in legendis historicorum scriptis longè & iucundissimum & vtilissimum est) historiam cum historia cõfer, Persicam nimirum cum Romana. Amytin cum Messalina, Regis Persarum filiam cum imperatoris Romani coniuge mihi compara: & muliebre vtrobique, quasi in speculo quodã, contẽplare ingeniũ.
-- Claudius audi Quæ tulerit. dormire virum quum senserat vxor, Ausa Palatino, &c. satis enim tibi notos esse puto versus. Aptissimè autem, meo quidem iudicio, hoc par mulierum copulauerimus: vt quas personas & longa temporum intercapedo & longũ locorum interuallum & linguæ magna discrepantia dissociauerũt, generis nobilitas (licet in altera maior) & morum fœditas ac turpitudo minimè nobili vinculo nobis consocient atque coniungant. Et de Messalinæ quidem vt audias libidine, tibi lõgè abcundũ nõ fuerit. Amytin autem præterquam Ctesiæ, etiam Dinonis grauissimi authoris hoc infamatam reperi elogio, Ἄμυτις, καλλίστη τῶν ἐν τῇ ἀσίᾳ γυναικῶν καὶ ἀκολαστοτάτη. id est, Amytis omnium Asiæ fœminarum vt pulcherrima, ita libidinosissima. Historiam cum historia contulisti, lector: nunc autem poetæ quomodo cum historicis conferri debeant, & vt cum illorũ sententiis horum pulchrè testimonia consonent, cõsidera. Nimirum quod à poeta Latinorum omniũ

ingeniosissimo pronuntiatum est, litem magnam pudicitiæ cum forma esse, non minus verè quam elegāter esse dictū, iam antea tibi, vt opinor, persuaseras: sed ita verū tamen hoc esse, vt non in omnes hāc cadere suspicionem existimare deberemus. At nūc hæ te docēt historiæ, nō obscuras tantū, nō priuatas tantùm affines huic culpæ esse personas, verū etiā imperatrices, eorum etiā qui reges regum vocabantur (& meritò quidē vocabātur) filias. Sed cur ego tā memorabilē vndique hāc tibi reddere conor narrationem? nimirum quòd illa vel certissimū Ctesiæ φιλαληθείας datura sit testimonium. Quem enim missum me facere velle simulauerā, nūc quasi ex insidiis repetere libet sermonem. Ecquis vnicuique erga suam artem & erga eiusdem artis societate iunctos (quòd eiusdem velut sacri sint cultores) naturaliter quosdā amoris excitari nescit igniculos? Nisi igitur Ctesiæ amica quidem ars sua, amicus verò Apollonides, sed amica magis historiæ veritas fuisset, hæccine cum tāto vtriusque narrasset dedecore? At ego (dicet fortasse Plutarchus) istud factū lōgè aliter interpretor. Nam vt κεραμεὺς κεραμεῖ κοτέει, sic etiam ἰατρὸς ἰατρῷ. hinc illa diffamatio. Itáne tandē hæc eius diffamandi studio commemoret, quem aliquot in locis non multo antè spōte laudauerit? Quo te iā vertes Plutarche? Video video quo euadere velis. Passim ab Herodoto dissētit. Patrē fabularū mihi narras. tādē te tuo cōfodisti gladio. Nimirū verax Ctesias mēdaci Herodoto repugnat. Quid tu autē ad hæc, lector? nōne iam tibi teneri Plutarchus videtur? Hoc si tibi persuasi, Ctesiæ τὸ φιλάληθες admirare mecū potius, quàm cū Plutarcho τὸ φιλοψευδὲς reprehēde. Aut, si tibi paria in vtrāque partē rationum vidētur esse momēta, saltē te neutrum serua, & vti dixi, de Ctesiæ Persicis, penes Persas, de Indicis, penes Indos fides esto. Vale.

ΕΚ ΤΩΝ ΚΤΗΣΙΟΥ
τοῦ κνιδίου περσικῶν ἐκλογαί.

ΚΤΗΣΙΟΥ τοῦ κνιδίου τὰ περσικὰ ἐν βιβλίοις ἐστὶ κγ'. ἀλλ' ἐν μὲν τοῖς πρώτοις ἓξ τά τε ἀσσύρια διαλαμβάνει καὶ ὅσα πρὸ τῶν περσικῶν, ἀπὸ μέντοι τοῦ ζ' τὰ περσικὰ διεξέρχεται· καὶ ἐν μὲν τῷ ζ' καὶ η' καὶ ι' καὶ ια' καὶ ιβ' καὶ ιγ' διέξεισι τὰ περὶ Κύρου καὶ Καμβύσου καὶ τοῦ μάγου, Δαρείου τε καὶ τοῦ Ξέρξου· σχεδὸν ἐν ἅπασιν ἀντικείμενα Ηροδότῳ ἱστορῶν, ἀλλὰ καὶ ψεύστην αὐτὸν ἀποκαλῶν ἐν πολλοῖς, καὶ λογοποιὸν ἀποκαλῶν. καὶ γὰρ νεώτερος μέν ἐστιν αὐτοῦ, φησὶ δὲ αὐτὸν, τῶν πλειόνων ἃ ἱστορεῖ, αὐτόπτην γενόμενον, ἢ παρ' αὐτῶν περσῶν, ἔνθα τὸ ὁρᾶν μὴ ἐνεχώρει, αὐτήκοον καταστάντα, οὕτως τὴν ἱστορίαν συγγράψαι. οὐχ Ηροδότῳ δὲ μόνῳ τἀναντία ἱστορεῖ, ἀλλὰ καὶ πρὸς Ξενοφῶντα τὸν Γρύλλου ἐπ' ἐνίων διαφωνεῖ. ἤκμασε δὲ ἐν τοῖς χρόνοις Κύρου τοῦ ἐκ Δαρείου καὶ Παρυσάτιδος, ὃς ἀδελφὸς Αρτοξέρξου, εἰς ὃν ἡ περσικὴ βασιλεία κατῆλθεν, ἐτύγχανε. φησὶν οὖν αὐτίκα περὶ τοῦ Αστυάγους, ὡς οὐδὲν αὐτῷ Κῦρος πρὸς γένος ἐχρημάτιζεν· τοῦτον δὲ αὐτὸν καὶ Αστυΐγαν καλεῖ. φυγεῖν δὲ ἀπὸ προσώπου Κύρου Αστυΐγαν ἐν ἐκβατάνοις, καὶ κρυφθῆναι ἐν τοῖς κριοκράνοις τῶν βασιλείων οἰκημάτων, κρυψάντων αὐτὸν τῆς τε θυγατρὸς Αμύτιος καὶ τοῦ ἀνδρὸς αὐτῆς Σπιτάμα. ἐπιστάντα δὲ Κῦρον, ἐπιτάξαι ἀνακρίνειν διὰ στρεβλώσεων Σπιταμᾶν τε καὶ Αμυτιν, ἀλλὰ καὶ τοὺς παῖδας αὐτῶν Σπιτάκην τε καὶ Μεγαβέρνην, περὶ Αστυΐγα. τὸν δὲ, ἑαυτὸν προσαγγεῖλαι, ἵνα μὴ δι' αὐτὸν στρεβλωθείησαν οἱ παῖδες. ληφθέντα δὲ, πέδαις παχείαις ὑπὸ Οἰβαρᾶ δεθῆναι. λυθῆναι δὲ ὑπ' αὐτοῦ Κύρου μετ' οὐ πολὺ, καὶ ὡς πατέρα τιμηθῆναι, καὶ τὴν θυγα-

τέρα Ἀμύτιν πρότερον μὲν μητρικῆς ἀπολαῦσαι τιμῆς, ἔπειτα δὲ καὶ εἰς γυναῖκα ἀξιωθῆναι τῷ Κύρῳ, Σπιτάμα τοῦ ἀνδρὸς αὐτῆς ἀνῃρημένου, ὅτι ἐψεύσατο, ἀγνοεῖν εἰπὼν ἐρευνώμενον Ἀστυΐγαν. ταῦτα λέγει Κτησίας περὶ Κύρου, καὶ οὐχ οἷα Ἡρόδοτος. καὶ ὅτι πρὸς Βακτρίους ἐπολέμησε, καὶ ἀγχώμαλος ἡ μάχη ἐγένετο. ἐπεὶ δὲ Βάκτριοι Ἀστυΐγαν μὲν, πατέρα Κύρου γεγενημένον, Ἀμύτιν δὲ, μητέρα καὶ γυναῖκα, ἔμαθον, ἑαυτοὺς ἑκόντες Ἀμύτι καὶ Κύρῳ παρέδοσαν. καὶ ὅτι πρὸς Σάκας ἐπολέμησε Κύρος, καὶ συνέλαβεν Ἀμόργην τῶν Σακῶν μὲν βασιλέα, ἄνδρα δὲ Σπαρέθρης. ἥτις καὶ μετὰ τὴν ἅλωσιν τοῦ ἀνδρὸς, στρατὸν συλλέξασα, ἐπολέμησε Κύρῳ, ἀνδρῶν μὲν στράτευμα, τριάκοντα μυριάδας ἐπαγομένη, γυναικῶν δὲ, εἴκοσι. καὶ νικᾷ Κύρον καὶ συλλαμβάνει ζωγρείαν μετὰ καὶ ἄλλων πλείστων, Παρμίσην τε τὸν Ἀμύτιος ἀδελφὸν, καὶ τρεῖς αὐτοῦ παῖδας· δι' οὓς ὕστερον καὶ Ἀμόργης ἀφείθη, ἐπεὶ κἀκεῖνοι ἀφείθησαν. καὶ ὅτι στρατεύει Κύρος ἐπὶ Κροῖσον καὶ πόλιν Σάρδεις, συνεργὸν ἔχων Ἀμόργην. ὅπως τε τῇ βουλῇ Οἰβάρα τῶν Περσῶν εἴδωλα ξύλινα ἀνὰ τὸ τεῖχος φανέντα, εἰς δέος μὲν κατέστησε τοὺς ἐνοικοῦντας, ἥλω δὲ διὰ ταῦτα καὶ αὐτὴ ἡ πόλις. ὅπως τε πρὸ τῆς ἁλώσεως δίδοται ὁ παῖς Κροίσου ἐν ὁμήρου λόγῳ, δαιμονίου φαντάσματος ἀπατήσαντος Κροῖσον. ὅπως τε δολορραφοῦντος Κροίσου, ὁ παῖς κατ' ὀφθαλμοὺς ἀναιρεῖται· καὶ ὅπως ἡ μήτηρ τὸ πάθος ἰδοῦσα, ἑαυτὴν τοῦ τείχους ἀποκρημνίζει, καὶ οὐ θνήσκει. ὅπως τε, ἁλούσης τῆς πόλεως, πρὸς τὸ ἐν τῇ πόλει ἱερὸν τοῦ Ἀπόλλωνος καταφεύγει, καὶ θνήσκει· καὶ ὡς τρὶς ἐν τῷ ἱερῷ πεδηθεὶς ὑπὸ Κύρου, λύεται τρίτον ἀοράτως. καίτοι σφραγίδων τῷ ἱερῷ ἐπικειμένων, καὶ τούτων τὴν φυλακὴν Οἰβάρα ἐμπεπιστευμένου. ὅπως τε οἱ συνδούμενοι Κροίσῳ, τὰς κεφαλὰς ἀπετέμνοντο, ὡς καταπροδιδόντες λύεσθαι Κροῖσον. καὶ ὅτι ἀναληφθεὶς ἐν τοῖς βασιλείοις, καὶ δεθεὶς ἀσφαλέστερον, βροντῆς καὶ

σκηπτῶν ἐπενεχθέντων, λύεται πάλιν· καὶ τότε μόλις ὑπὸ
Κύρου ἀφίεται. ἐξ οὗ καὶ περιείπετο. καὶ ἔδωκε Κῦρος Κροίσῳ πό
λιν μεγάλην Βαρήνην, ἐγγὺς Ἐκβατάνων, ἐν ᾗ ἦσαν ἱππεῖς μὲν
πεντακισχίλιοι, πελτασταὶ δὲ καὶ ἀκοντισταὶ καὶ τοξόται, μύριοι.
ἔτι δὲ διαλαμβάνει ὡς ἀποστέλλει Κῦρος ἐν Πέρσαις Πετησά
καν τὸν ἡμιάῤῥενα, μέγα παρ' αὐτῷ δυνάμενον, ἐνεῖκαι ἀπὸ
Βαρκανίων Ἀστυΐγαν. ἐπόθει γὰρ αὐτός τε καὶ ἡ θυγάτηρ Ἀμύ-
τις τὸν πατέρα ἰδεῖν. καὶ ὡς Οἰβάρας βουλεύει Πετησάκᾳ ἐν ἐρή
μῳ τόπῳ καταλιπόντα Ἀστυΐγαν, λιμῷ καὶ δίψῃ ἀπολέσαι. ὃ καὶ
γέγονε. δι' ἐνυπνίων δὲ τοῦ μιάσματος μηνυθέντος, Πετησάκας,
πολλάκις αἰτησαμένης Ἀμύτιος, εἰς τιμωρίαν παρὰ Κύρου
ἐκδίδοται. ἡ δὲ τοὺς ὀφθαλμοὺς ἐξορύξασα, καὶ τὸ δέρμα περι-
δείρασα, ἀνεσταύρωσεν. Οἰβάρας δὲ δεδιὼς μὴ τὰ ὅμοια πεί
σεται, καίτοι Κύρου μηδὲν τοιοῦτον ἰσχυριζομένου παραχωρῆσαι,
αὐτὸς ὅμως ἀποκαρτερήσας δι' ἡμερῶν δέκα, ἑαυτὸν ἐξήγα-
γεν. Ἀστυΐγας δὲ μεγαλοπρεπῶς ἐτάφη· καὶ ἐν τῇ ἐρήμῳ δὲ ἄ-
βρωτος αὐτοῦ διέμεινεν ὁ νεκρός. λέοντες γὰρ αὐτοῦ, φασί, μέχρι
Πετησάκα πάλιν ἐλθεῖν καὶ ἀναλαβεῖν, ἐφύλαττον τὸν νεκρόν.
Κῦρος δὲ στρατεύει ἐπὶ Δέρβικας, Ἀμοραίου βασιλεύοντος αὐ
τῶν· καὶ ἐξ ἐνέδρας οἱ Δέρβικες ἰσῶσιν ἐλέφαντας, καὶ τοὺς ἱππεῖς
Κύρου τρέπουσι. καὶ πίπτει καὶ αὐτὸς Κῦρος ἐκ τοῦ ἵππου, καὶ Ἰνδὸς
ἀνήρ· συνεμάχοντο γὰρ καὶ Ἰνδοὶ τοῖς Δερβίκεσιν, ἐξ ὧν καὶ τοὺς
ἐλέφαντας ἔφερον· τοῦτον οὖν ὁ Ἰνδὸς πεπτωκότα Κῦρον βάλλει ἀ-
κοντίῳ ὑπὸ τὸ ἰσχίον, εἰς τὸν μηρόν· ἐξ οὗ καὶ τελευτᾷ. τότε
δὲ ζῶντα ἀνελόμενοι αὐτὸν οἱ οἰκεῖοι, ἐπὶ τὸ στρατόπεδον ἤε-
σαν. ἀπέθανον δὲ ἐν τῇ μάχῃ καὶ Περσῶν πολλοὶ καὶ Δερβί-
κων ἴσοι. μύριοι γὰρ καὶ αὐτοί. Ἀμόργης δὲ περὶ Κύρου ἀ-
κούσας, σπουδῇ παραγίνεται, ἔχων Σακῶν δισμυρίους ἱπ-
πέας. καὶ πολέμου συῤῥαγέντος Περσῶν καὶ Δερβίκων, νικᾷ
κατακράτος ὁ Περσικὸς καὶ Σακῶν στρατός· ἀναιρεῖται δὲ καὶ ὁ

τῶν δερβίκων βασιλεὺς Ἀμοραῖος, καὶ αὐτὸς καὶ οἱ δύο παῖδες αὐτοῦ. ἀπέθανον δὲ δερβίκων μὲν πεζοὶ μύριοι, περσῶν δὲ ἐννεακισχίλιοι. καὶ προσεχώρησεν ἡ χώρα Κύρῳ. Κῦρος δὲ μέλλων τελευτᾶν, Καμβύσην μὲν τὸν πρῶτον υἱὸν, βασιλέα καθίστη· Ταννοξάρκην δὲ τὸν νεώτερον ἐπέστησε δεσπότην βακτρίων τε τῆς χώρας, καὶ χοραμνίων, καὶ παρθίων, καὶ καρμανίων, ἀτελεῖς ἔχειν τὰς χώρας διορισάμενος. τῶν δὲ Σπιτάμα παίδων, Σπιτάδην μὲν, δερβίκων ἀπέδειξε σατράπην, Μεγαβέρνην δὲ, βαρκανίων· τῇ μητρὶ δὲ πάντα πείθεσθαι προσέταττε. καὶ Ἀμόργην φιλοῦντας, τὰς δεξιὰς ἐμβάλλοντας, ἐποίει, καὶ ἀλλήλοις· καὶ τοῖς μὲν ἐμμένουσι τοῖς πρὸς ἀλλήλους εὐνοίαις ἀγαθὰ ηὔχετο, ἐπηρᾶτο δὲ τοῖς χειρῶν ἄρξουσιν ἀδίκων. ταῦτα εἰπὼν, ἐτελεύτησε τρίτῃ ὕστερον ἀπὸ τοῦ τραύματος ἡμέρᾳ, βασιλεύσας ἔτη λ΄. ἐν οἷς ὁ ια΄ Κτησίου λόγος τοῦ κνιδίου. ἄρχεται δὲ ὁ ιβ΄ ἀπὸ τῆς Καμβύσου βασιλείας. οὗτος βασιλεύσας, ἀπέστειλε τὸν τοῦ πατρὸς διὰ Βαγαπάτου τοῦ ἡμιαῤῥένος εἰς πέρσας ταφῆναι νεκρόν· καὶ τἄλλα ὡς ὁ πατὴρ ὥρισατο, διῳκήσατο. μέγιστον δὲ παρ᾽ αὐτῷ ἠδύνατο Ἀρτασύρας ὑρκάνιος· τῶν δὲ ἡμιαῤῥένων Ἰξαβάτης τε καὶ Ἀσπαδάτης καὶ Βαγαπάτης, ὃς καὶ παρὰ τῷ πατρὶ μέγιστος. καὶ μετὰ τὸν Πετησάκα θάνατον, οὗτος στρατεύει ἐπ᾽ αἴγυπτον, καὶ τὸν αἰγυπτίων βασιλέα Ἀμυρταῖον, Κομβαφέως τε ἡμιαῤῥένος, ὃς ἦν μέγα δυνάμενος παρὰ τῷ αἰγυπτίων βασιλεῖ, καταπροδόντος τάς τε γεφύρας καὶ τἄλλα τῶν αἰγυπτίων πράγματα, ἐφ᾽ ᾧ γενέσθαι ὕπαρχος αἰγύπτου. καὶ γέγονε. ταῦτα γὰρ αὐτῷ Καμβύσης διὰ Ἰξαβάτου τοῦ Κομβαφέως ἀνεψιοῦ συνέθετο, καὶ αὐτὸς οἰκειοφώνως ὕστερον. ζωγρείᾳ δὲ λαβὼν τὸν Ἀμυρταῖον, οὐδὲν ἄλλο κακὸν εἰργάσατο, ἢ ὅτι εἰς Σοῦσα ἀνάσπαστον σὺν ἑξακισχιλίοις αἰγυπτίοις, οὓς αὐτὸς ᾑρετίσατο, ἐποιήσατο. καὶ τὴν αἴγυπτον δὲ πᾶσαν ὑπέταξεν. ἀπέθανον δὲ ἐν τῇ μάχῃ, αἰγυπτίων

μὲν μυριάδες πέντε, περσῶν δὲ δύο. μάγος δέ τις Σφενδαδάτης ὄνομα, ἁμαρτήσας καὶ μαστιγωθεὶς ὑπὸ Τανυοξάρκου, ἀφικνεῖται πρὸς Καμβύσην, ἐνδιαβάλλων τὸν ἀδελφὸν Τανυοξάρκην ὡς ἐπιβουλεύοντα αὐτῷ. καὶ σημεῖον ἐδίδου τῆς ἀποστάσεως, ὡς εἰ κληθείη ἥκειν, οὐκ ἂν ἔλθοι. δηλοῖ οὖν ὁ Καμβύσης ἥκειν τὸν ἀδελφόν. ὁ δὲ, χρείας ἄλλης ἀπαιτούσης μένειν, ἀνεβάλλετο. παρρησιάζεται δὲ διαβολαῖς πλέον ὁ μάγος. Ἄμυτις δὲ ἡ μήτηρ τὰ τοῦ μάγου ὡς ἦν ὑπονοοῦσα, ἐνουθέτει Καμβύσην τὸν υἱὸν μὴ πείθεσθαι. ὁ δὲ ὑπεκρίνετο μὴ πείθεσθαι, ἐπείθετο δὲ μάλιστα. διαπεμψαμένου δὲ τρίτον Καμβύσου πρὸς τὸν ἀδελφὸν, παραγίνεται. καὶ ἀσπάζεται μὲν αὐτὸν ὁ ἀδελφός, οὐδὲν δὲ ἧττον ἀνελεῖν ἐμελέτα. κρύφα δὲ Ἀμύτιος εἰς πρᾶξιν ἀγαγεῖν τὴν μελέτην ἔσπευδε. καὶ λαμβάνει πέρας ἡ πρᾶξις. ὁ γάρ τοι μάγος βουλῆς τῷ βασιλεῖ κοινωνῶν, βουλεύει τοιοῦτον. ὅμοιος ἦν αὐτὸς ὁ μάγος κάρτα τῷ Τανυοξάρκῃ. βουλεύει τοιγαροῦν αὐτὸν μὲν ἐν τῷ φανερῷ, ὡς δῆθεν ἀδελφοῦ βασιλέως κακῶς εἰπόντα, τὴν κεφαλὴν προστάξαι ἀποτμηθῆναι, ἐν δὲ τῷ κρυπτῷ ἀναιρεθῆναι Τανυοξάρκην, καὶ τὴν ἐκείνου στολὴν ἀμφιασθῆναι τὸν μάγον· ὥστε καὶ τῷ ἀμφιάσματι νομίζεσθαι Τανυοξάρκην. καὶ γίνεται ταῦτα. αἵματι γὰρ ταύρου, ὃ ἐξέπιεν, ἀναιρεῖται Τανυοξάρκης. ἀμφιάζεται δὲ ὁ μάγος, καὶ νομίζεται Τανυοξάρκης· καὶ λανθάνει πάντας ἐπὶ πολὺν χρόνον, πλὴν Ἀρτασύρα καὶ Βαγαπάτου καὶ Ἰζαβάτου. τούτοις γὰρ μόνοις Καμβύσης ἐθάρρησε τὴν πρᾶξιν. Λάβυζον δὲ τὸν ἡμιαρρένων τὸν προύχοντα οἳ ἦσαν Τανυοξάρκεω, προσκαλεσάμενος ὁ Καμβύσης καὶ τοὺς ἄλλους, ὑποδείξας τὸν μάγον ὡς ἐσχημάτιστο καθεζόμενον, τοῦτον, ἔφη, νομίζετε Τανυοξάρκην. ὁ δὲ Λάβυζος, θαυμάσας, καὶ τίνα ἄλλον, ἔφη, νομίζομεν; τοσοῦτον ἐλάνθανε τῇ ὁμοιότητι ὁ μάγος. ἐκπέμπεται οὖν εἰς Βακτρίους, καὶ πράττει πάντα ὡς Τανυοξάρκης. πέντε δὲ ἐνιαυτῶν διελθόντων, μηνύεται ἡ

Ἄμυτις τὸ δρᾶμα διὰ Τιβέθιος τοῦ ἡμιάῤῥενος, ὃν ὁ μάγος τυπτήσας ἐτύγχανε. καὶ αἰτεῖ τὸν Σφενδαδάτην παρὰ Καμβύσου. ὁ δὲ οὐ δίδωσιν. ἡ δὲ ἐπαρᾶται, καὶ πιοῦσα φάρμακον, τελευτᾷ. Θύει ὁ Καμβύσης, καὶ τῶν ἱερείων σφαζομένων αἷμα οὐκ ἀποῤῥεῖ· καὶ ἀθυμεῖ. καὶ τίκτει αὐτῷ ἡ Ῥωξάνη παιδίον ἀκέφαλον· καὶ πλέον ἀθυμεῖ. καὶ οἱ μάγοι λέγουσιν αὐτῷ τὴν τῶν τεράτων δήλωσιν, ὅτι οὐ καταλείψει τῆς ἀρχῆς διάδοχον· καὶ ἐφίσταται αὐτῷ ἡ μήτηρ ἐν νυκτὶ, ἀπειλοῦσα τῆς μιαιφονίας· καὶ πλέον ἀθυμεῖ. ἀφικόμενος δὲ εἰς Βαβυλῶνα, καὶ ξέων ξυλάριον μαχαίρᾳ, διατριβῆς χάριν, παίει τὸν μηρὸν εἰς τὸν μῦν, καὶ ἑνδεκαταῖος τελευτᾷ, βασιλεύσας δυοῖν δέοντα εἴκοσι. Βαγαπάτης δὲ καὶ Ἀρτασύρας, πρὶν ἢ Καμβύσης τελευτῆσαι, ἐβουλεύσαντο βασιλεῦσαι τὸν μάγον. καὶ ἐβασίλευσαν, ἐκείνου τελευτήσαντος. λαβὼν δὲ τὸ Καμβύσου σῶμα Ἰξαβάτης ἦλθεν εἰς Πέρσας. τοῦ μάγου δὲ βασιλεύσαντος ἐπ' ὀνόματι τοῦ Τανυοξάρκου, ἧκεν Ἰξαβάτης ἐκ Περσίδος, καὶ κατειπὼν τῇ στρατιᾷ πάσῃ, καὶ θριαμβεύσας τὸν μάγον, κατέφυγεν εἰς τὸ ἱερόν· ἐκεῖθέν τε συλληφθεὶς, ἀπετμήθη. ἐντεῦθεν ἑπτὰ τῶν Περσῶν ἐπίσημοι συνέθεντο ἀλλήλοις κατὰ τοῦ μάγου, Ὀνόφας, Ἰδέρνης, Νορονδαβάτης, Μαρδόνιος, Βαρίσσης, Ἀταφέρνης, καὶ Δαρεῖος Ὑστάσπεω. τούτων ἀλλήλοις πίστεις δόντων, προσλαμβάνεται καὶ ὁ Ἀρτασύρας, εἶτα καὶ ὁ Βαγαπάτης, ὃς τὰς κλεῖς πάσας τῶν βασιλείων εἶχε. καὶ εἰσελθόντες διὰ τοῦ Βαγαπάτου οἱ ἑπτὰ εἰς τὰ βασίλεια, εὑρίσκουσι τὸν μάγον παλλακῇ Βαβυλωνίᾳ συγκαθεύδοντα. ὡς δὲ εἶδεν, ἀνεπήδησε· καὶ μηδὲν εὑρὼν τῶν πολεμικῶν ὀργάνων (πάντα γὰρ ὁ Βαγαπάτης λάθρα ὑπεξήγαγε) δίφρον χρύσεον συντρίψας, καὶ λαβὼν τὸν πόδα, ἐμάχετο. καὶ τέλος, κατακεντηθεὶς ὑπὸ τῶν ἑπτὰ, ἀπέθανε, βασιλεύσας μῆνας ἑπτά. Βασιλεύει δὲ τῶν ἑπτὰ ὁ Δαρεῖος, τοῦ ἵππου, καθὰ συνέκειτο ἀλλήλοις, πρώτου

μηχανῇ τινι καὶ τέχνῃ, ἐπειδὴ ὁ ἥλιος πρὸς ἀνατολὰς ἐγένετο, χρεμετίσαντος. ἄγεται τοῖς πέρσαις ἑορτὴ τῆς μαγοφονίας, καθ' ἣν Σφενδαδάτης ὁ μάγος ἀνῃρέθη. Δαρεῖος προστάσσει τάφον ἑαυτῷ κατασκευασθῆναι ἐν τῷ δισσῷ ὄρει· καὶ κατασκευάζεται. ἐπιθυμήσας δὲ ἰδεῖν αὐτὸν, ὑπό τε τῶν χαλδαίων καὶ τῶν γονέων κωλύεται. οἱ δὲ γονεῖς ἀνελθεῖν βουληθέντες, ἐπειδὴ οἱ ἱερεῖς εἶδον οἱ ἀνέλκοντες αὐτοὺς, καὶ ἐφοβήθησαν, καὶ φοβηθέντες ἀφῆκαν τὰ σχοινία, ἔπεσον καὶ ἐτελεύτησαν. καὶ ἐλυπήθη Δαρεῖος λίαν. καὶ ἀπετμήθησαν αἱ κεφαλαὶ, τεσσαράκοντα ὄντων τῶν ἀνελκόντων. Ἔπειτα ἐπιτάσσει Δαρεῖος Αριαράμνῃ τῷ σατράπῃ καππαδοκίας, ἐπὶ σκύθας διαβῆναι, καὶ ἄνδρας καὶ γυναῖκας αἰχμαλωτίσαι. ὁ δὲ διαβὰς πεντηκοντόροις λ', ᾐχμαλώτισε. συνέλαβε δὲ καὶ τὸν ἀδελφὸν τοῦ βασιλέως τῶν σκυθῶν Μαρσαγέτην, ἐπὶ κακώσει εὑρὼν παρὰ τοῦ οἰκείου ἀδελφοῦ δεδεμένον. Σκυθάρκης δὲ ὁ σκυθῶν βασιλεὺς ὀργισθεὶς, ἔγραψεν ὑβρίζων Δαρεῖον· καὶ ἀντεγράφη αὐτῷ ὁμοίως. στράτευμα δὲ ἀγείρας Δαρεῖος, ὀγδοήκοντα μυριάδας, καὶ ζεύξας τὸν βόσπορον καὶ τὸν ἴστρον, διέβη ἐπὶ σκύθας. ὁδὸν ἐλάσας ἡμερῶν ιε'. καὶ ἀντέπεμπον ἀλλήλοις τόξα· ἐπικρατέστερα δὲ ἦν τὰ τῶν σκυθῶν. διὸ καὶ φεύγων Δαρεῖος διέβη τὰς γεφυρώσεις· καὶ ἔλυσε σπεύδων πρὶν ἢ τὸ ὅλον διαβῆναι στράτευμα. καὶ ἀπέθανον ὑπὸ Σκυθάρκου οἱ καταλειφθέντες ἐν τῇ εὐρώπῃ, μυριάδες ὀκτώ. Δαρεῖος δὲ τὴν γέφυραν διαβὰς, χαλκηδονίων οἰκίας καὶ ἱερὰ ἐνέπρησεν, ἐπεὶ τὰς πρὸς αὐτοῖς γεφύρας ἐμελέτησαν λῦσαι· καὶ ὅτι τὸν βωμὸν ὃν Δαρεῖος κατέθετο ἐπ' ὀνόματι διαβατηρίου διὸς, ἠφάνισαν. Δάτις δὲ ἐπανιὼν ἐκ πόντου, καὶ τοῦ μηδικοῦ στόλου ἡγούμενος, ἐπόρθει νήσους καὶ τὴν ἑλλάδα. ἐν μαραθῶνι δὲ Μιλτιάδης ὑπαντιάζει, καὶ νικᾷ τοὺς βαρβάρους, καὶ πίπτει καὶ αὐτὸς Δάτις. καὶ οὐδὲ τὸ σῶμα πέρσαις

αἰτησαμένοις ἐδόθη. Δαρεῖος δὲ ἐπανελθὼν εἰς πέρσας, καὶ θύσας, καὶ ἡμέρας νοσήσας λ΄, τελευτᾷ· ζήσας μὲν ἔτη ιϛ΄ πρὸ τῆς βασιλείας, βασιλεύσας δὲ ἔτη λα΄. ἀπέθανε δὲ καὶ Αρτασύρας, καὶ ὁ Βαγαπάτης δὲ τὸ σῆμα Δαρείου παρακαθίσας ἔτη ζ΄, ἐτελεύτησε. βασιλεύει Ξέρξης ὁ υἱὸς αὐτοῦ, καὶ Αρτάπανος ὁ Αρτασύρα παῖς γίνεται δυνατὸς παρ' αὐτῷ, ὡς ὁ πατὴρ παρὰ τῷ πατρὶ, καὶ Μαρδόνιος ὁ παλαιός. ἡμιαῤῥένων δὲ μέγιστον ἠδύνατο Νατάκας. γαμεῖ δὲ Ξέρξης Ονόφα θυγατέρα Αμιστριν, καὶ γίνεται αὐτῷ παῖς Δαρειαῖος. καὶ ἕτερος μετὰ δύο ἔτη, Υστάσπης, καὶ ἔτι Αρταξέρξης· καὶ θυγατέρες δύο, ὧν ἡ μὲν, Αμυτις, κατὰ τὴν ὀνομασίαν τῆς μάμμης· ἡ δὲ, Ροδογούνη. ὁ δὲ δὴ Ξέρξης στρατεύει ἐπὶ τοὺς ἕλληνας, ὅτι τε Χαλκηδόνιοι λῦσαι τὴν γέφυραν, ὡς ἤδη εἴρηται, ἐπειράθησαν· καὶ ὅτι τὸν βωμὸν ὃν ἔστησε Δαρεῖος, καθεῖλον· καὶ ὅτι Δάτιν ἀθηναῖοι ἀνεῖλον, καὶ οὐδὲ τὸν νεκρὸν ἔδοσαν. πρότερον δὲ εἰς βαβυλῶνα ἀφίκετο, καὶ ἰδεῖν ἐπεθύμησε τὸν Βελιτανᾶ τάφον, καὶ εἶδε διὰ Μαρδονίου. καὶ τὴν πύελον ἐλαίου οὐκ ἴσχυσεν, ὥσπερ καὶ ἐγέγραπτο, πληρῶσαι. ἐξελαύνει Ξέρξης εἰς ἐκβάτανα, καὶ ἀγγέλλεται αὐτῷ ἀπόστασις Βαβυλωνίων, καὶ Ζωπύρου τοῦ στρατηγοῦ αὐτῶν ὑπὸ σφῶν ἀναίρεσις. οὕτως καὶ περὶ τούτων φησὶ Κτησίας, καὶ οὐχ ὡς Ηρόδοτος. ἃ δὲ περὶ Ζωπύρου ἐκεῖνος λέγει, πλὴν ὅτι ἡμίονος αὐτῷ ἔτεκεν. ἐπεὶ τά γε ἄλλα Μεγάβυζον οὗτος λέγει διαπράξασθαι, ὃς ἦν γαμβρὸς ἐπὶ τῇ θυγατρὶ Αμυτι, τοῦ Ξέρξου. οὕτως μὲν ἥλω διὰ τοῦ Μεγαβύζου βαβυλών. δίδωσι δὲ αὐτῷ Ξέρξης ἄλλα τε πολλὰ, καὶ μύλην χρυσῆν, ἓξ ἕλκουσαν τάλαντα. ὃ τιμιώτατον τῶν βασιλικῶν δώρων παρὰ πέρσαις ἐστί. Ξέρξης δὲ συναγείρας στρατιὰν περσικὴν, ἄνευ τῶν ἁρμάτων, ὀγδοήκοντα μυριάδας, καὶ τριήρεις χιλίας, ἤλαυνεν ἐπὶ τὴν ἑλλάδα, ζεύγνυς τὴν ἀ-

ϐυδον. Δημάρατος δὲ ὁ λακεδαιμόνιος παρεγένετο ἤδη πρότερον, καὶ συνῆν αὐτῷ ἐν τῇ διαβάσει, καὶ ἀπεῖργε τῆς εἰς Λακεδαίμονα ἐφόδου. Ξέρξης δὲ προσβάλλει ἐν θερμοπύλαις Λεωνίδᾳ τῷ στρατηγῷ τῶν λακεδαιμονίων, δι' Ἀρταπάνου, ἔχοντος μυρίους. καὶ κατεκόπη τὸ περσικὸν πλῆθος, τῶν λακεδαιμονίων δύο ἢ τριῶν ἀναιρεθέντων. εἶτα προσβαλεῖν κελεύει μετὰ δισμυρίων. καὶ ἧττα γίνεται κἀκείνων. εἶτα μαστιγοῦνται ἐπὶ τῷ πολεμεῖν· καὶ μαστιγούμενοι, ἔτι ἡττῶντο. τῇ δὲ ὑστεραίᾳ κελεύει μάχεσθαι μετὰ πεντακισμυρίων· καὶ ἐπεὶ οὐδὲν ἤνυεν, ἔλυσε τότε τὸν πόλεμον. Θώραξ δὲ ὁ θεσσαλὸς καὶ Τραχινίων οἱ δυνατοὶ, Καλλιάδης καὶ Τιμαφέρνης, παρῆσαν στρατιὰν ἔχοντες. καλέσας δὲ Ξέρξης τούτους τε καὶ τὸν Δημάρατον καὶ τὸν Ηγίαν τὸν ἐφέσιον, ἔμαθεν ὡς οὐκ ἂν ἡττηθεῖεν λακεδαιμόνιοι, εἰ μὴ κυκλωθεῖεν. ἡγουμένων δὲ τῶν δύο Τραχινίων διὰ δυσβάτου στρατὸς περσικὸς διελήλυθε, μυριάδες τέσσαρες· καὶ κατὰ νώτου γίνονται τῶν λακεδαιμονίων, καὶ κυκλωθέντες, ἀπέθανον μαχόμενοι ἀνδρείως ἅπαντες. Ξέρξης δὲ πάλιν στράτευμα πέμπει κατὰ πλαταιέων, μυριάδας ιϐ', ἡγούμενον αὐτοῖς Μαρδόνιον ἐπιστήσας. θηϐαῖοι δὲ ἦσαν οἱ κατὰ πλαταιέων τὸν Ξέρξην κινοῦντες. ἀντιστρατεύει δὲ Παυσανίας ὁ λακεδαιμόνιος, τριακοσίους μὲν ἔχων σπαρτιάτας, χιλίους δὲ τῶν περιοίκων, ἐκ δὲ τῶν ἄλλων πόλεων χιλιάδας ἕξ. καὶ νικᾶται κατακράτος ἡ περσικὴ στρατιά, καὶ φεύγει τραυματισθεὶς καὶ Μαρδόνιος. οὗτος ὁ Μαρδόνιος πέμπεται συλῆσαι τὸ τοῦ ἀπόλλωνος ἱερὸν παρὰ Ξέρξου· κἀκεῖ, φησί, θνήσκει, χαλάζης ἐπιπεσούσης παχείας. ἐφ' ᾧ λίαν Ξέρξης ἐλυπήθη. Ξέρξης δὲ ἐπ' αὐτὰς ἀθήνας ἐλαύνει· καὶ ἀθηναῖοι, πληρώσαντες ἑκατὸν δέκα τριήρεις, φεύγουσιν εἰς σαλαμῖνα. καὶ Ξέρξης τὴν πόλιν κενὴν αἱρεῖ, καὶ ἐμπίμπρησι, πλὴν τῆς ἀκροπόλεως. ἐν αὐτῇ

γὰρ ἔτι τινὲς ὑπολειφθέντες ἐμάχοντο. τέλος κἀκείνων νυκτὶ φυγόντων, κἀκείνην συνέφλεξαν. ὁ δὲ Ξέρξης αὐτόθεν ἐλθὼν ἐπὶ στενότατον τῆς ἀττικῆς, ὃ ἡράκλειον καλεῖται, ἐχώννυε χῶμα ἐπὶ σαλαμῖνα, πεζῇ ἐπ' αὐτὴν διαβῆναι διανοούμενος. βουλῇ δὲ Θεμιστοκλέους ἀθηναίου καὶ Αριστείδου, τοξόται μὲν ἀπὸ κρήτης προσκαλοῦνται καὶ παραγίνονται· εἶτα ναυμαχία περσῶν καὶ ἑλλήνων γίνεται· περσῶν μὲν, ναῦς ἐχόντων ὑπὲρ τὰς χιλίας, στρατηγοῦντος αὐτοῖς Ονόφα· ἑλλήνων δὲ, ἑπτακοσίας. καὶ νικῶσιν ἕλληνες, καὶ διαφθείρονται περσικαὶ πεντακόσιαι νῆες. καὶ φεύγει Ξέρξης, βουλῇ πάλιν καὶ τέχνῃ Αριστείδου καὶ Θεμιστοκλέους. ἐν δὲ ταῖς λοιπαῖς ἁπάσαις μάχαις ἀπέθανον περσῶν ιβ' μυριάδες. Ξέρξης δὲ περάσας εἰς τὴν ἀσίαν, καὶ ἀπελαύνων εἰς σάρδεις, ἔπεμπε Μεγάβυζον τὸ ἐν δελφοῖς ἱερὸν συλῆσαι. ἐπεὶ δὲ ἐκεῖνος παρῃτεῖτο, ἀποστέλλεται Ματακᾶς ὁ εὐνοῦχος, ὕβρεις τε φέρων τῷ Απόλλωνι, καὶ πάντα συλήσων. καὶ δὴ οὕτως ποιήσας, πρὸς Ξέρξην ὑπέστρεφε. Ξέρξης δὲ ἀπὸ βαβυλῶνος εἰς πέρσας παραγίνεται, καὶ Μεγάβυζος κατὰ τῆς γυναικὸς τῆς ἰδίας Αμύτιος, (ἣ θυγάτηρ, ὡς προείρηται, Ξέρξου ἐτύγχανεν) ὡς μεμοιχευμένης, λόγους ἐκίνει. καὶ ἐπιτιμᾶται Αμυτις λόγοις ὑπὸ τοῦ πατρὸς, καὶ ὑπισχνεῖται σωφρονεῖν. Αρτάπανος δὲ μέγα παρὰ Ξέρξῃ δυνάμενος μετὰ Σπαμίτρου τοῦ ἡμιάρρενος, καὶ αὐτοῦ μέγα δυναμένου, βουλεύονται ἀνελεῖν Ξέρξην· καὶ ἀναιροῦσι. καὶ πείθουσιν Αρτοξέρξην τὸν υἱὸν ὡς Δαρειαῖος αὐτὸν ὁ ἕτερος παῖς ἀνεῖλε. καὶ παραγίνεται Δαρειαῖος ἀγόμενος ὑπὸ Αρταπάνου εἰς τὴν οἰκίαν Αρτοξέρξου, πολλὰ βοῶν καὶ ἀπαρνούμενος ὡς οὐκ εἴη φονεὺς τοῦ πατρὸς· καὶ ἀποθνήσκει. καὶ βασιλεύει Αρτοξέρξης, σπουδῇ Αρταπάνου· καὶ ἐπιβουλεύεται πάλιν ὑπ' αὐτοῦ, καὶ λαμβάνει κοινωνὸν τῆς βουλῆς Αρτάπανος Μεγάβυ-

ζον, ἤδη λελυπημένον ἐπὶ τῇ ἰδίᾳ γυναικὶ Ἀμύτι, διὰ τὴν τῆς μοιχείας ὑπόληψιν. καὶ ὅρκοις ἀλλήλους ἀσφαλίζονται. ἀλλὰ μηνύει πάντα Μεγάβυζος, καὶ ἀναιρεῖται Ἀρτάπανος ᾧ τρόπῳ ἔμελλεν ἀναιρεῖν Ἀρτοξέρξην. καὶ γίνεται πάντα δῆλα τὰ εἰργασμένα ἐπὶ Ξέρξῃ καὶ Δαρειαίῳ. καὶ ἀπόλλυται πικρῷ καὶ κακίστῳ θανάτῳ Ἀσπαμίτρης, ὃς ἦν κοινωνὸς ἐπὶ τοῖς φόνοις Ξέρξου καὶ Δαρειαίου· σκαφεύεται γάρ, καὶ οὕτως ἀναιρεῖται. μάχη δὲ γίνεται μετὰ τὸν θάνατον Ἀρταπάνου, τῶν τε συνωμοτῶν αὐτοῦ καὶ τῶν ἄλλων περσῶν. καὶ πίπτουσιν ἐν τῇ μάχῃ οἱ τρεῖς τοῦ Ἀρταπάνου υἱοί. τραυματίζεται δὲ καὶ Μεγάβυζος ἰσχυρῶς· καὶ θρηνεῖ Ἀρτοξέρξης καὶ ἡ Ἄμυτις καὶ ἡ Ῥοδογούνη, καὶ ἡ μήτηρ αὐτῶν Ἄμηστρις. καὶ μόλις πολλῇ ἐπιμελείᾳ περισώζεται Ἀπολλωνίδου ἰατροῦ τοῦ Κῴου. ἀφίσταται Ἀρτοξέρξου Βάκτρα, καὶ ὁ σατράπης ἄλλος Ἀρτάβανος· καὶ γίνεται μάχη ἰσοπαλής. καὶ γίνεται πάλιν ἐκ δευτέρου. καὶ ἀνέμου κατὰ πρόσωπον βακτρίων πνεύσαντος, νικᾷ Ἀρτοξέρξης, καὶ προσχωρεῖ αὐτῷ πᾶσα βακτρία. ἀφίσταται αἴγυπτος, Ἰνάρου λιβύου ἀνδρὸς καὶ ἑτέρου αἰγυπτίου τὴν ἀπόστασιν μελετήσαντος. καὶ εὐτρεπίζεται τὰ πρὸς πόλεμον. πέμπουσι καὶ Ἀθηναῖοι, αἰτησαμένου αὐτοῦ, τεσσαράκοντα νῆας. καὶ μελετᾷ αὐτὸς Ἀρτοξέρξης ἐκστρατεῦσαι. καὶ τῶν φίλων οὐ συμβουλευόντων, πέμπει Ἀχαιμενίδην τὸν ἀδελφόν, τεσσαράκοντα μὲν μυριάδας ἐπαγόμενον στράτευμα πεζικόν, νῆας δὲ π΄. συμβάλλει πόλεμον Ἴναρος πρὸς Ἀχαιμενίδην· καὶ νικῶσιν αἰγύπτιοι, καὶ βάλλεται Ἀχαιμενίδης ὑπὸ Ἰνάρου, καὶ θνήσκει, καὶ ἀποπέμπεται ὁ νεκρὸς αὐτοῦ εἰς Ἀρτοξέρξην. ἐνίκησεν Ἴναρος καὶ κατὰ θάλασσαν, Χαριτιμίδου εὐδοκιμήσαντος, ὃς τῶν ἐξ Ἀθηνῶν τεσσαράκοντα νηῶν ἐχρημάτιζε ναύαρχος· καὶ ν΄ περσῶν νῆες, αἱ μὲν εἴκοσιν, αὐτοῖς ἀνδράσιν ἐλήφθησαν, αἱ

δὲ λ΄ διεφθάρησαν. εἶτα πέμπεται κατ' Ἰνάρου Μεγάβυζος ἐπαγόμενος ἄλλο στράτευμα πρὸς τῷ ὑπολειφθέντι, μυριάδας εἴκοσι, καὶ νῆας τ΄. καὶ ἐπιστάτην αὐτῆς Ὀρίσκον. ὡς εἶναι χωρὶς τῶν νεῶν, τὸ ἄλλο πλῆθος ν΄ μυριάδας. Ἀχαιμενίδης γὰρ ὅτε ἔπεσεν, ι΄ μυριάδες αὐτῷ, ἐξ ὧν ἦγε μ΄, συνδιεφθάρησαν. γίνεται οὖν μάχη καρτερὰ, καὶ πίπτουσιν ἀμφοτέρωθεν πολλοὶ, πλείους δὲ αἰγύπτιοι. καὶ βάλλει Μεγάβυζος εἰς τὸν μηρὸν Ἴναρον, καὶ τρέπεται· καὶ νικῶσι πέρσαι κατακράτος. φεύγει δὲ πρὸς τὴν βύβλον Ἴναρος (πόλις ἰσχυρὰ ἐν αἰγύπτῳ αὕτη) καὶ οἱ ἕλληνες δὲ μετ' αὐτοῦ, ὅσοι μὴ ἐν τῇ μάχῃ καὶ μετὰ Χαριτιμίδου ἀπέθανον. προσχωρεῖ δὲ αἰγύπτιος πλὴν βύβλου πρὸς Μεγάβυζον. ἐπεὶ δὲ ἐκείνη ἀνάλωτος ἐδόκει, σπένδεται πρὸς Ἴναρον καὶ τοὺς ἕλληνας ἑξακισχιλίους ὄντας καὶ ἔτι πρὸς, ὁ Μεγάβυζος, ἐφ' ᾧ μηδὲν κακὸν παρὰ βασιλέως λαβεῖν, καὶ τοὺς ἕλληνας ὅτε βούλοιντο, πρὸς τὰ οἰκεῖα ἐπανελθεῖν. καθίστησι δὲ τῆς αἰγύπτου σατράπην Σαρσάμαν· καὶ λαβὼν Ἴναρον καὶ τοὺς ἕλληνας, παραγίνεται πρὸς Ξέρξην, καὶ εὑρίσκει λίαν κατ' Ἰνάρου τεθυμωμένον, ὅτι τὸν ἀδελφὸν Ἀχαιμενίδην ἀπεκτονὼς εἴη. διηγεῖται τὰ γεγονότα πάντα Μεγάβυζος, καὶ ὡς πίστεις δοὺς Ἰνάρῳ καὶ τοῖς ἕλλησι, βύβλον εἴληφε. καὶ ἐξαιτεῖται λιπαρῶς βασιλέα περὶ τῆς αὐτῶν σωτηρίας· καὶ λαμβάνει. καὶ ἐξάγεται τέλος τῇ στρατιᾷ ὡς Ἴναρος καὶ οἱ ἕλληνες οὐδὲν κακὸν πείσονται. Ἀμῦτις δὲ ὑπὲρ τοῦ παιδὸς Ἀχαιμενίδου δεινὰ ἐποιεῖτο, εἰ μὴ τιμωρήσαιτο Ἴναρον καὶ τοὺς ἕλληνας· καὶ αἰτεῖται ταῦτα βασιλέα, ὁ δὲ οὐκ ἐνδίδωσιν· εἶτα Μεγάβυζον, ὁ δὲ ἀποπέμπεται. εἶτα ἐπεὶ διώχλει τὸν υἱὸν, κατειργάσατο· καὶ πέντε παρελθόντων ἐτῶν, λαμβάνει τὸν Ἴναρον παρὰ βασιλέως καὶ τοὺς ἕλληνας· καὶ ἀνεσταύρωσε μὲν ἐπὶ τρισὶ σταυροῖς· πεντήκοντα δὲ ἑλλήνων, ὅσους λαβεῖν ἴσχυσε,

τούτων ἔτεμε τὰς κεφαλάς. καὶ ἐλυπήθη λύπην σφοδρὰν Μεγάβυζος, καὶ ἐπένθησε· καὶ ἠτήσατο ἐπὶ Συρίαν τὴν ἑαυτοῦ χώραν ἀπιέναι. ἐνταῦθα λάθρα καὶ τοὺς ἄλλους τῶν Ἑλλήνων προέπεμπε, καὶ ἀπήει· καὶ ἀπέστη βασιλέως. καὶ ἀθροίζει μεγάλην δύναμιν, ἄχρι πεντεκαίδεκα μυριάδων, χωρὶς τῶν ἱππέων καὶ τῶν πεζῶν. καὶ πέμπεται Οὔσιρις κατ᾽ αὐτοῦ σὺν εἴκοσι μυριάσι. καὶ συνάπτεται πόλεμος, καὶ βάλλουσιν ἀλλήλους Μεγάβυζος καὶ Οὔσιρις, ὁ μὲν ἀκοντίῳ· καὶ τυγχάνει Μεγαβύζου εἰς τὸν μηρόν, καὶ τιτρώσκει ἄχρι δακτύλων δύο· ὁ δὲ ὡσαύτως ἀκοντίῳ τὸν τοῦ Οὐσίριος μηρόν· εἶτα βάλλει εἰς τὸν ὦμον· κἀκεῖνος πίπτει ἐκ τοῦ ἵππου. καὶ περισχὼν Μεγάβυζος προστάσσει ἀναλαβεῖν καὶ περισῶσαι. ἔπιπτον δὲ πολλοὶ τῶν Περσῶν· καὶ ἐμάχοντο ἀνδρείως οἱ τοῦ Μεγαβύζου παῖδες Ζώπυρος καὶ Ἀρτύφιος. καὶ νίκη γίνεται Μεγαβύζῳ κραταιά. περιποιεῖται Οὔσιριν ἐπιμελῶς, καὶ ἀποπέμπει τοῦτον αἰτησάμενον πρὸς Ἀρτοξέρξην. πέμπεται δὲ κατ᾽ αὐτοῦ ἑτέρα στρατιά, καὶ Μενοστάνης ὁ τοῦ Ἀρταρίου παῖς. ὁ δὲ Ἀρτάριος, σατράπης μὲν τῆς Βαβυλῶνος, Ἀρτοξέρξου δὲ ἀδελφός. καὶ συμβάλλουσιν ἀλλήλοις, καὶ φεύγει ἡ περσικὴ στρατιά. καὶ Μενοστάνης βάλλεται εἰς τὸν ὦμον ὑπὸ Μεγαβύζου· εἶτα εἰς τὴν κεφαλὴν τιτρώσκεται οὐ καιρίαν. φεύγει δὲ ὅμως αὐτός καὶ οἱ μετ᾽ αὐτοῦ, καὶ νίκη λαμπρὰ γίνεται Μεγαβύζῳ. Ἀρτάριος δὲ πέμπει πρὸς Μεγάβυζον, καὶ παραινεῖ σπείσασθαι βασιλεῖ. ὁ δὲ δηλοῖ σπείσασθαι μὲν βούλεσθαι καὶ αὐτόν, οὐ μέντοι παραγενέσθαι πρὸς βασιλέα, ἀλλ᾽ ἐφ᾽ ᾧ μένειν ἐν τῇ ἑαυτοῦ. ἀπαγγέλλεται ταῦτα βασιλεῖ. καὶ συμβουλεύουσιν Ἀρτοξάρης τε ὁ Παφλαγὼν εὐνοῦχος, ἀλλὰ καὶ ἡ Ἄμυτις, σπουδῇ σπείσασθαι. πέμπεται οὖν Ἀρτάριός τε αὐτός, καὶ Ἄμυτις ἡ γυνή, καὶ Ἀρτοξάρης, ἐτῶν ἤδη ὢν εἴκοσι, καὶ Πετησᾶς ὁ Οὐσίριος καὶ

Σπιταμᾶ πατήρ. πολλοῖς οὖν λόγοις καὶ ὅρκοις πληροφορήσαντες Μεγάβυζον, μόλις ὅμως πείθουσι πρὸς βασιλέα παραγενέσθαι. καὶ βασιλεὺς τέλος ἔπεμψε, παραγγελλόμενος συγγνώμην ἔχειν τῶν ἡμαρτημένων. Ἐξέρχεται βασιλεὺς ἐπὶ θήραν, καὶ λέων ἐπέρχεται αὐτῷ. μετεώρου δὲ φερομένου τοῦ θηρίου, βάλλει ἀκοντίῳ Μεγάβυζος, καὶ ἀναιρεῖ· καὶ ὀργίζεται Ἀρτοξέρξης ὅτι πρὶν ἢ αὐτὸς τύχῃ, Μεγάβυζος ἔβαλε· καὶ προστάσσει τὴν κεφαλὴν τὸν Μεγάβυζον ἀποτμηθῆναι. Ἀμίστριος δὲ καὶ Ἀμύτιος καὶ τῶν ἄλλων τῇ παραιτήσει, τοῦ μὲν θανάτου ῥύεται, ἀνάσπαστος δὲ γίνεται εἰς τὴν ἐρυθρὰν ἔν τινι πόλει ὀνόματι Κύρται. Ἐξορίζεται δὲ καὶ Ἀρτοξάρης ὁ εὐνοῦχος εἰς Ἀρμενίαν, ὅτι πολλάκις ὑπὲρ Μεγαβύζου βασιλεῖ ἐπαρρησιάσατο. Ὁ δὲ Μεγάβυζος πέντε διατρίψας ἐν τῇ ἐξορίᾳ ἔτη, ἀποδιδράσκει, ὑποκριθεὶς τὸν πισάγαν. πισάγας δὲ λέγεται παρὰ Πέρσαις ὁ λεπρὸς, καὶ ἔστι πᾶσιν ἀπρόσιτος. ἀποδρὰς οὖν παραγίνεται πρὸς Ἄμυτιν καὶ τὸν οἶκον, καὶ μόλις ἐπιγινώσκεται· καὶ δι' Ἀμίστριος καὶ δι' Ἀμύτιος καταλλάσσεται ὁ βασιλεὺς, καὶ ποιεῖ αὐτὸν, ὡς τὸ πρόσθεν, ὁμοτράπεζον. ζήσας δὲ ἓξ καὶ ἑβδομήκοντα ἔτη, ἀπέθανε· καὶ κάρτα ἠχθέσθη βασιλεύς. Τελευτήσαντος δὲ Μεγαβύζου, κάρτα ἦν Ἄμυτις ἀνδράσιν ὁμιλοῦσα. καὶ πρό γε ταύτης, καὶ ἡ μήτηρ Ἄμηστρις ὁμοίως. ὁ δὲ Ἀπολλωνίδης ὁ ἰατρὸς ὁ Κῷος, ἐπεὶ ἀσθενῶς εἶχεν Ἄμυτις, εἰ καὶ βληχρῶς καὶ οὐκ ἰσχυρῶς, ἐκεῖνος δὲ ἠράσθη αὐτῆς, ἔφη εἰς τὴν ὑγείαν αὐτὴν ἐπανελθεῖν ἐὰν ἀνδράσιν ὁμιλήσῃ. τῆς γὰρ ὑστέρας εἶναι τὸ νόσημα. ἐπεὶ δὲ αὐτῷ ἐξεγένετο τὸ ἐπιτήδευμα, καὶ ὡμίλει αὐτῇ, ἡ δὲ ἄνθρωπος ἐμαραίνετο, ἀπέστη τῆς συνουσίας. τελευτῶσα δὴ οὖν ἐπήγγειλε τῇ μητρὶ, ἀμύνασθαι Ἀπολλωνίδην. ἡ δὲ ἀπήγγειλε πάντα Ἀρτοξέρξῃ τῷ βασιλεῖ, ὅπως τε ὡμίλει, καὶ ὅπως ἀπέστη ὑβρίσας, καὶ ὅπως ἡ θυγάτηρ ἐπήγγειλεν Ἀπολλωνίδην ἀμύνα-

θαι. ἐκεῖνος δὲ τῇ μητρὶ τὸ παρεισάμενον αὐτῇ στρατηγὸν ἐπιτρέπει. ἡ δὲ, λαβοῦσα ἔδησε τὸν Ἀπολλωνίδην, δυσὶ μησὶ κολάζουσα· ἔπειτα ζῶντα κατώρυξεν, ὅτε καὶ Ἄμυτις ἀπέθανε. Ζώπυρος δὲ ὁ Μεγαβύζου καὶ Ἀμύτιος παῖς, ἐπειδὰν αὐτῷ ὅτε πατὴρ καὶ ἡ μήτηρ ἐτελεύτησεν, ἀπέστη βασιλέως· καὶ εἰς Ἀθήνας ἀφίκετο, κατὰ τὴν τῆς μητρὸς εἰς αὐτοὺς εὐεργεσίαν. εἰς Καῦνον δὲ ἅμα τοῖς ἑπομένοις εἰσέπλευσε, καὶ ἐκέλευσε παραδιδόναι τὴν πόλιν. Καύνιοι δὲ αὐτῷ μὲν παραδιδόναι τὴν πόλιν ἔφασκον, Ἀθηναίοις δὲ τοῖς συνεπομένοις, οὐκέτι. εἰσιόντι δὲ Ζωπύρῳ εἰς τὸ τεῖχος λίθον Ἀλκίδης Καύνιος ἐμβάλλει εἰς τὴν κεφαλήν· καὶ οὕτως Ζώπυρος ἀποθνήσκει. Ἄμιστρις δὲ ἡ μάμμη τὸν Καύνιον ἀνεσταύρωσεν. ἀποθνήσκει δὲ καὶ ἡ Ἄμιστρις, κάρτα γραῦς γενομένη. καὶ Ἀρταξέρξης δὲ ἀποθνήσκει, μβʹ ἔτη βασιλεύσας.

Ἀρταξέρξου δὲ τελευτήσαντος, Ξέρξης ὁ υἱὸς βασιλεύει, ὃς μόνος ἦν γνήσιος ἐκ Δαμασπίας· ἣ ἐν αὐτῇ τῇ ἡμέρα ἐν ᾗ καὶ Ξέρξης ἐτελεύτησεν, ἀπεβίω. Βαγόραζος δὲ τὸν νεκρὸν τοῦ πατρὸς καὶ τῆς μητρὸς ἀπήγαγεν εἰς Πέρσας. ἑπτακαίδεκα δὲ νόθοις υἱοῖς ἔσχεν ὁ Ἀρταξέρξης, ἐξ ὧν ἐστι καὶ Σεκυνδιανὸς, ὁ ἐξ Ἀλογούνης τῆς Βαβυλωνίας, καὶ Ὦχος, καὶ Ἀρσίτης, ὁ ἐκ Κοσμαρτιδήνης, καὶ αὐτῆς Βαβυλωνίας. ὁ δὲ Ὦχος ὕστερον καὶ βασιλεύει. ἔτι δὲ παῖδες αὐτοῦ, πρὸς τοῖς εἰρημένοις, καὶ Βαγαπαῖος καὶ Παρύσατις, ἐξ Ἀνδίας, καὶ αὐτῆς Βαβυλωνίας. αὕτη ἡ Παρύσατις Ἀρταξέρξου καὶ Κύρου μήτηρ ἐγένετο. τὸν δὲ Ὦχον ζῶν ὁ πατὴρ, Ὑρκανίων σατράπην ἐποίησε, δοὺς αὐτῷ καὶ γυναῖκα Παρύσατιν ὄνομα· ἥτις ἦν Ξέρξου μὲν θυγάτηρ, ἀδελφὴ δὲ οἰκεία. ὁ δὲ Σεκυνδιανὸς προσποιησάμενος Φαρνακύαν τὸν εὐνοῦχον, ὃς ἦν μετὰ Βαγόραζον καὶ Μενοστάνη καὶ ἑτέρους τινὰς, μεθύοντος ἐν ἑορτῇ τινι τοῦ Ξέρξου, καὶ

καθεύδοντος ἐν τῆς βασιλείας, εἰσελθόντες ἀποκτείνουσιν αὐτὸν, πεντεκαιδεκάτης καὶ πέμπτης ἡμέρας διαγενομένης ἀπὸ τῆς τοῦ πατρὸς τελευτῆς. συνέβη οὖν ἀμφοτέρους ἅμα εἰς Πέρσας ἀποκομισθῆναι. αἱ γὰρ ἄγουσαι τὴν ἁρμάμαξαν ἡμίονοι, ὥσπερ ἀναμένουσαι καὶ τὸν τοῦ παιδὸς νεκρὸν, οὐκ ἤθελον προελθεῖν. ὅτε δὲ κατέλαβε, σὺν προθυμίᾳ ἀπῄεσαν.

βασιλεύει δὲ Σεκυνδιανὸς, καὶ γίνεται ἀζαβαρίτης αὐτῷ Μενοστάνης. ἀπιὼν δὲ Βαγόραζος, καὶ ὑποστρέψας πρὸς Σεκυνδιανὸν, ἐπὶ παλαιὰ αὐτοῖς ἔχθρα ὑπετύφετο, ὡς δῆθεν ἄνευ τῆς ἑαυτοῦ γνώμης, τοῦ πατρὸς λιπὼν τὸν νεκρὸν αὐτοῦ, προστάξει βασιλέως λιθόλευστος ἐγεγόνει. ἐφ᾽ ᾧ ἡ στρατιὰ εἰς λύπην κατηνέχθη. ὁ δὲ δῶρα αὐτῇ ἐδίδου. οἱ δὲ ἐμίσουν αὐτὸν, ὅτι τε τὸν ἀδελφὸν Ξέρξην ἀπεκτόνει, καὶ ὅτι Βαγόραζον. διαπέμπεται Σεκυνδιανὸς προσκαλούμενος Ὦχον. ὁ δὲ ὑπισχνεῖται μὲν, οὐ παραγίνεται δέ. καὶ γίνεται τοῦτο πολλάκις. τέλος περιβάλλεται Ὦχος πλείστην στρατιάν, καὶ ἐπίδοξος ἦν βασιλεύειν. ἀφίσταται Ἀρβάριος ὁ τῶν ἱππέων Σεκυνδιανοῦ ἄρχων πρὸς Ὦχον· εἶτα Ἀρξάνης ὁ Αἰγύπτου σατράπης· καὶ Ἀρτοξάρης δὲ ἐξ Ἀρμενίας ἧκε πρὸς Ὦχον. καὶ ἐπέθεντο αὐτῷ τὴν κίταριν, οὔτι ἑκόντι. βασιλεύει Ὦχος, καὶ μετονομάζεται Δαρειαῖος. καὶ μετέρχεται ἀπάτῃ καὶ ὅρκοις, ὑποθήκῃ Παρυσάτιδος, τὸν Σεκυνδιανὸν· πολλὰ Μενοστάνους παραινοῦντος Σεκυνδιανὸν μὴ πιστεύειν τοῖς ὅρκοις, μηδὲ σπένδεσθαι τοῖς ἐξαπατῶσι· πείθεται δὲ οὖν ὅμως, καὶ ἁλίσκεται, καὶ εἰς τὴν σποδὸν ἐμβάλλεται καὶ ἀπόλλυται, βασιλεύσας μῆνας ἕξ, ἡμέρας πεντεκαίδεκα.

βασιλεύει οὖν μόνος Ὦχος, ὁ καὶ Δαρειαῖος· εὐνοῦχοι δὲ τρεῖς ἠδύναντο παρ᾽ αὐτῷ, μέγιστον μὲν Ἀρτοξάρης, δεύτερος δὲ Ἀρτιβαρξάνης, καὶ τρίτος, Ἀθῶος. ἐχρῆτο δὲ μάλιστα τῇ γυναικὶ συμβούλῳ· ἐξ ἧς πρὸ τῆς βασιλείας δύο ἔσχε

τέκνα, Ἄμιστριν θυγατέρα, καὶ Ἀρσάκαν υἱόν· ὃς ὕστερον μετωνομάσθη Ἀρτοξέρξης. τίκτει δὲ αὐτῷ ἕτερον υἱὸν βασιλεύουσα, καὶ τίθεται τὸ ὄνομα αὐτοῦ ἀπὸ τοῦ ἡλίου Κῦρον. εἶτα τίκτει Ἀρτόστην, καὶ ἐφεξῆς μέχρι παίδων δεκατριῶν. καί φησιν ὁ συγγραφεύς, αὐτὸς παρ' αὐτῆς ἐκείνης τῆς Παρυσάτιδος ταῦτα ἀκοῦσαι. ἀλλὰ τὰ μὲν ἄλλα τῶν τέκνων ταχὺ ἀπεβίων· οἱ δὲ περιγεγονότες, οἵ τε προρρηθέντες τυγχάνουσι, καὶ ἔτι τέταρτος υἱός, Ὀξένδρας ὠνομασμένος. ἀφίσταται βασιλέως, Ἀρσίτης οἰκεῖος ἀδελφὸς ὁμοπάτριος καὶ ὁμομήτριος, καὶ Ἀρτύφιος ὁ Μεγαβύζου. πέμπεται Ἀρτασύρας κατ' αὐτῶν, καὶ πολεμεῖ Ἀρτύφιον. καὶ δυσὶ μάχαις Ἀρτασύρας ἡττᾶται, εἶτα πάλιν συμβαλών, νικᾷ Ἀρτύφιον· καὶ ὑπάγεται τοὺς σὺν αὐτῷ Ἕλληνας δώροις, καὶ καταλιμπάνονται αὐτῷ Μιλήσιοι μόνοι τρεῖς. τέλος ὅρκους καὶ πίστεις λαβὼν παρὰ Ἀρτασύρα, ἐπεὶ ὁ Ἀρσίτης οὐκ ἐφαίνετο, προσεχώρησε βασιλεῖ. Παρύσατις δὲ βουλεύεται βασιλεῖ ὁρμῶντι πρὸς τὸν Ἀρτυφίου θάνατον, μὴ ἀνελεῖν τέως (ἔσεσθαι γὰρ τοῦτο ἀπάτην, καὶ εἰς τὴν προσχώρησιν τοῦ Ἀρσίτου) ἐπειδὰν δὲ κἀκεῖνος ἀπατηθεὶς ἁλῷ, δεῖν τότε ἄμφω διαχειρίσασθαι. καὶ γέγονεν οὕτως, ἀποδωθείσης τῆς συμβουλῆς. καὶ ἐμβάλλεται εἰς τὴν σποδὸν Ἀρτύφιος καὶ Ἀρσίτης. καίτοι Ἀρσίτην ὁ βασιλεὺς οὐκ ἐβούλετο ἀπολέσαι, ἀλλ' ἡ Γαρύσατις, τὰ μὲν πείθουσα, τὰ δὲ βιαζομένη, ἀπώλεσε. κατελεύσθη δὲ καὶ Φαρνακύας, ὁ συνανελὼν Σεκυνδιανῷ Ξέρξην. ἀνῃρέθη δὲ καὶ Μενοστάνης ὑφ' ἑαυτοῦ, ἤδη πρὸς θάνατον συλλαμβανόμενος. ἀφίσταται Πισούθνης· καὶ ἀποστέλλεται κατ' αὐτοῦ Τισσαφέρνης, καὶ Σπιθραδάτης, καὶ Παρμίσης. ἀντεπεξῄει δὲ Πισούθνης, ἔχων καὶ Λύκωνα τὸν Ἀθηναῖον ἅμα Ἕλλησιν ὧν ἐκεῖνος ἦρχε. λαμβάνουσι δὲ οἱ τοῦ βασιλέως στρατηγοὶ χρήμασι Λύκωνα καὶ τοὺς Ἕλληνας, καὶ ἀφιστῶσι Πισούθνου. εἶτα δόντες αὐτῷ πίστεις καὶ

λαβόντες, ἄγουσι παρὰ βασιλέα. ὁ δὲ εἰς τὴν σποδὸν ἐνέβαλεν, Τισσαφέρνῃ δοὺς τὴν Πισσούθνου σατραπείαν. ἔλαβε δὲ Λύκων καὶ πόλεις καὶ χώρας ὑπὲρ τῆς προδοσίας. Ἀρτοξάρης δὲ, ὃς μέγα ἠδύνατο παρὰ βασιλεῖ, ἐπιβουλεύει βασιλέα, θέλων αὐτὸς βασιλεῦσαι, ἐκτομίας ὑπάρχων. πώγωνα γὰρ καὶ ὑπόρρινα προσέταξεν αὐτῷ γυναικὶ κατασκευάσαι, ἵνα ὡς ἀνὴρ φαίνοιτο. δι' ἧς καὶ καταμηνύεται, καὶ συλλαμβάνεται· καὶ παραδίδοται Παρυσάτιδι, καὶ ἀναιρεῖται.

Ἀρσάκης δὲ ὁ τοῦ βασιλέως παῖς, ὁ καὶ ὕστερον μετονομασθεὶς Ἀρτοξέρξης, γαμεῖ τὴν Ἰδέρνεω θυγατέρα Στάτειραν· τὴν δὲ τοῦ βασιλέως θυγατέρα, ὁ τοῦ Ἰδέρνεω υἱός. Ἄμιστρις ἦν ἡ θυγάτηρ. τῷ δὲ ταύτης νυμφίῳ ὄνομα Τεριτούχμης· ὃς καὶ τοῦ πατρὸς τελευτήσαντος, ἀντ' αὐτοῦ σατράπης κατέστη. ἦν δὲ ὁμοπατρία αὐτοῦ ἀδελφὴ Ῥωξάνη, καλὴ τὸ εἶδος, καὶ τοξεύειν καὶ ἀκοντίζειν ἐμπειροτάτη. ἐρῶν δὲ ταύτης ὁ Τεριτούχμης καὶ συγγινόμενος, ἐμίσει Ἄμιστριν· καὶ τέλος ἐμβαλεῖν αὐτὴν εἰς σάκκον, καὶ κατακεντηθῆναι ὑπὸ τριακοσίων ἀνδρῶν, μεθ' ὧν καὶ τὴν ἀπόστασιν ἐμελέτησεν, ἐβουλεύσατο. ἀλλά τις Οὐδιάστης ὄνομα, ἰσχὺν ἔχων παρὰ Τεριτούχμῃ, καὶ γράμματα παρὰ βασιλέως, πολλὰς ὑποσχέσεις ἔχοντα εἰ περισωθείη αὐτοῦ ἡ θυγάτηρ, δεξάμενος, ἐπιτίθεται καὶ ἀναιρεῖ Τεριτούχμην, γενναίως ἐν τῇ ἐπαναστάσει ἀνδρισάμενον, καὶ πολλοὺς ἀποκτείναντα· μέχρι γὰρ λʹ καὶ ζʹ φασὶν αὐτὸν ἀποκτεῖναι. ὁ δὲ υἱὸς τοῦ Οὐδιάστου Μιτραδάτης, ὑπασπιστὴς ὢν Τεριτούχμου, καὶ μὴ παρὼν, ἐπεὶ ἔμαθε, πολλὰ τῷ πατρὶ κατηράσατο, καὶ πόλιν Ζάριν καταλαβὼν ἐφύλαττε ταύτην τῷ παιδὶ τοῦ Τεριτούχμεω. ἡ δὲ Παρύσατις τὴν μητέρα τοῦ Τεριτούχμεω, καὶ τοὺς ἀδελφοὺς Μιτρώστην καὶ Ἥλικον, καὶ τὰς ἀδελφὰς δύο οὔσας, χωρὶς τῆς Στατείρας, ζώσας ἐκέλευσε καταχῶσαι, τὴν δὲ Ῥωξάνην, ζῶσαν κατατεμεῖν.

καὶ ἐγένετο. ὁ δὲ βασιλεὺς εἶπε τῇ γυναικὶ Παρυσάτιδι, ποιῆσαι ὁμοίως καὶ Στάτειραν τὴν Ἀρσάκου γυναῖκα τοῦ παιδός. ἀλλ' ὅγε Ἀρσάκης πολλὰ τὴν μητέρα καὶ τὸν πατέρα δάκρυσι καὶ κοπετοῖς ἐξιλεωσάμενος, ἐπεὶ ἡ Παρύσατις ἐπεκάμφθη, συνεχώρησε. καὶ Ὦχος ὁ Δαρειαῖος, εἰπὼν Παρυσάτιδι, πολλὰ μεταμελήσειν αὐτήν.

Ἐν δὲ τῇ ιθ' ἱστορίᾳ διαλαμβάνει ὡς Ὦχος ὁ Δαρειαῖος ἀπέθανεν, ἀσθενήσας ἐν Βαβυλῶνι, ἔτη βασιλεύσας λε'. βασιλεύει δὲ Ἀρσάκης ὁ μετονομασθεὶς Ἀρτοξέρξης· καὶ ἐκτέμνεται ὁ Οὐδιάστης τὴν γλῶτταν, καὶ ἐξελκύεται ταύτην ἐξόπισθεν, καὶ θνήσκει. ὁ δὲ παῖς αὐτοῦ Μιτραδάτης, ἀπὸ τοῦ πατρὸς καθίσταται σατράπης. ἐπράχθη δὲ ταῦτα σπουδῇ Στατείρας. καὶ ἠνιᾶτο Παρύσατις. διαβάλλεται Κῦρος ὑπὸ Τισσαφέρνους πρὸς Ἀρτοξέρξην τὸν ἀδελφὸν, καὶ καταφεύγει Παρυσάτιδι τῇ μητρί· καὶ ἀπολύεται τῆς διαβολῆς. ἀπελαύνει Κῦρος ἠτιμωμένος παρὰ τοῦ ἀδελφοῦ πρὸς τὴν οἰκείαν σατραπείαν, καὶ μελετᾷ ἐπανάστασιν. διαβάλλει Σατιβαρζάνης Ὀρόντην, ὡς Παρυσάτιδι μίγνυται, καίτοι λίαν αὐτῆς σωφρονούσης. καὶ ἀναιρεῖται Ὀρόντης. καὶ ὀργίζεται ἡ μήτηρ τῷ βασιλεῖ, ὅτι Παρύσατις φαρμάκῳ διαφθείρει τὸν Τεριτούχμεω υἱόν. καὶ περὶ τοῦ θάψαντος τὸν πατέρα διὰ τοῦ πυρὸς, παρὰ τὸν νόμον. ἐξ οὗ καὶ ἔλεγχος Ἑλλανίκου καὶ Ἡροδότου, ὡς ψεύδονται. ἀπόστασις Κύρου ἀπὸ τοῦ ἀδελφοῦ, καὶ συναγωγὴ ἑλληνικοῦ στρατεύματος καὶ βαρβαρικοῦ, καὶ στρατηγῶν Κλέαρχος ἑλλήνων. ὅπως τε Συέννεσις ὁ Κιλίκων βασιλεὺς ἄμφω συνεμάχει Κύρῳ τε καὶ Ἀρταξέρξῃ. ὅπως τε Κῦρος τῇ ἰδίᾳ στρατιᾷ καὶ Ἀρτοξέρξης πάλιν τῇ οἰκείᾳ παρῄνεσαν. Κλέαρχος δὲ ὁ λακεδαιμόνιος, ὃς ἦρχε τῶν ἑλλήνων, καὶ Μένων ὁ θετταλὸς, οἱ μετὰ Κύρου ἦσαν, ἀεὶ διάφοροι ἀλλήλοις ἐτύγχανον· διότι τῷ μὲν Κλεάρχῳ ἅπαντα ὁ Κῦρος συνεβούλευε, τοῦ δὲ Μένωνος λόγος οὐδεὶς ἦν. ηὐτομόλουν δὲ ἀπὸ μὲν Ἀρτοξέρξου

πρὸς Κῦρον πολλοί, πρὸς δὲ Ἀρτοξέρξην ἀπὸ Κύρου οὐδείς. διὸ καὶ ὁ βάρβαρος προσχωρῆσαι Κύρῳ μετέπεσε, καὶ διαβληθεὶς, εἰς τὴν ἄποδον ἀνεβλήθη. προσβολὴ Κύρου πρὸς τὸ βασιλέως στρατόπεδον, καὶ νίκη Κύρου. εἶτα δὲ θάνατος Κύρου, ἀπειθοῦντος Κλεάρχῳ. καὶ αἰκισμοὶ τοῦ σώματος Κύρου ὑπὸ τοῦ ἀδελφοῦ Ἀρτοξέρξου. τήν τε γὰρ κεφαλὴν καὶ τὴν χεῖρα, μεθ' ἧς τὸν Ἀρτοξέρξην ἔβαλεν, αὐτὸς ἀπέτεμε καὶ ἐθριάμβευσεν. ἀναχώρησις Κλεάρχου τοῦ λακεδαιμονίου, ἅμα τοῖς σὺν αὐτῷ ἕλλησι τῆς νυκτὸς, καὶ τῶν τῆς Παρισάτιδος πόλεων μιᾶς κατάληψις. εἶτα σπονδαὶ βασιλέως πρὸς τοὺς ἕλληνας. ὡς Παρύσατις εἰς Βαβυλῶνα ἀφίκετο, πενθοῦσα Κῦρον, καὶ μόλις ἐκομίσατο τὴν κεφαλὴν αὐτοῦ καὶ τὴν χεῖρα, καὶ ἔθαψεν, καὶ ἀπέστειλεν εἰς σοῦσα. τὰ περὶ Βαγαπάτου τοῦ ἀποτεμόντος, προστάξει βασιλέως, τὴν κεφαλὴν ἀπὸ τοῦ σώματος Κύρου. ὅπως ἡ μήτηρ μετὰ βασιλέως κύβοις ἐπὶ συνθήκαις παίξασα, καὶ νικήσασα, ἔλαβε Βαγαπάτην. καὶ ὃν τρόπον τὸ δέρμα περιαιρεθεὶς ἀνεσταυρώθη ὑπὸ Παρισάτιδος· ὅτε καὶ τὸ πολὺ ἐπὶ Κύρῳ πένθος αὐτῇ ἐπαύσατο, διὰ τὴν πολλὴν τοῦ Ἀρτοξέρξου δέησιν. ὡς Ἀρτοξέρξης δῶρα ἔδωκε τῷ ἐνέγκαντι τὸν Κύρου πῖλον, καὶ ὡς τὸν Κᾶρα τὸν δοκέοντα Κῦρον βαλεῖν Ἀρτοξέρξης ἐτίμησε. καὶ ὡς Παρύσατις τὸν τιμηθέντα Κᾶρα αἰκισαμένη, ἀπέκτεινεν. ὡς Ἀρτοξέρξης παρέδωκεν αἰτησαμένῃ Μιθραδάτην Παρισάτιδι, ἐπὶ τραπέζης μεγαλαυχήσαντα ἀποκτεῖναι τὸν Κῦρον. κἀκείνη λαβοῦσα, πικρῶς ἀνεῖλε. ταῦτα καὶ ἡ ιθʹ καὶ ἡ κʹ ἱστορία.

Εν δὲ τῇ καʹ καὶ βʹ καὶ γʹ, ἥτις καὶ τῆς ὅλης πέρας ἐστὶν ἱστορίας, τάδε περιείληπται. ὡς Τισαφέρνης ἐπιβουλεύει τοῖς ἕλλησι, καὶ προσεταιρισάμενος Μένωνα τὸν θετταλὸν, δι' αὐτοῦ Κλέαρχον καὶ τοὺς ἄλλους στρατηγοὺς ἀπάτῃ καὶ ὅρκοις ἐχειρώσατο.

τοῦ Κλεάρχου καὶ προειδομένου καὶ ἀποκρουομένου τὴν ἐπιβουλήν. ἀλλά τό, τε πλῆθος διὰ Μένωνος ἀπατηθὲν, κατηνάγκασε καὶ ἄκοντα Κλέαρχον πρὸς Τισσαφέρνην παραγενέσθαι, καὶ Πρόξενος ὁ Βοιώτιος, αὐτὸς ἤδη προσαλοὺς ἀπάτῃ, συμπαρῄνει.

ὡς εἰς Βαβυλῶνα πρὸς Ἀρτοξέρξην Κλέαρχον καὶ τοὺς ἄλλους ἀπέστειλεν ἐν πέδαις· καὶ ὡς ἐπὶ θέαν Κλεάρχου ἅπαντες συνερρύησαν. ὡς Κτησίας αὐτὸς ἰατρὸς ὢν Παρυσάτιδος πολλὰ Κλεάρχῳ ἐν τῷ δεσμωτηρίῳ ὄντι πρὸς ἡδονὴν καὶ θεραπείαν δι᾽ αὐτῆς ἔπραξε· καὶ τῶν δεσμῶν ἂν Παρύσατις ἔλυσεν καὶ ἀφῆκεν, εἰ μὴ Στάτειρα τὸν ἄνδρα Ἀρτοξέρξην ἀνέπεισε τοῦτον ἀναιρεθῆναι. καὶ ἀνῃρέθη Κλέαρχος· καὶ τέρας ἐπὶ τῷ σώματι συνέστη· αὐτόματος γὰρ ἐπ᾽ αὐτῷ τάφος, μεγίστου πνεύσαντος ἀνέμου, ἐπὶ μέγα ἠρμένος, ἐπισυνέστη. ἀνῃρέθησαν δὲ καὶ οἱ σὺν αὐτῷ ἀναπεμφθέντες Ἕλληνες, πλὴν Μένωνος. λοιδορία Παρυσάτιδος πρὸς Στάτειραν, καὶ ἀναίρεσις διὰ φαρμάκου, τοῦτον διασκευασθέντος τὸν τρόπον· (ἐφυλάττετο γὰρ Στάτειρα λίαν μὴ παθεῖν ὃ πέπονθε) μαχαιρίου τὸ ἓν μέρος ἐπαλείφεται τῷ φαρμάκῳ· τὸ δὲ λοιπὸν οὐ μετεῖχε. τούτῳ τέμνεται ὀρνίθιον μικρὸν, μέγεθος ὅσον ᾠόν· (ῥυνδάκην Πέρσαι τὸ ὀρνίθιον καλοῦσι) τέμνεται δὲ δίχα, καὶ τὸ μὲν καθαρεῦον τοῦ ἰοῦ ἥμισυ αὐτὴ λαβοῦσα Παρύσατις ἐσθίει, τὸ δὲ προσομιλῆσαν τῷ φαρμάκῳ, ὀρέγει Στατείρᾳ. ἡ δὲ, ἐπεὶ ἐσθίουσαν τὴν ἐπιδοῦσαν ἑώρα τὸ ἥμισυ, μηδὲν συνιδεῖν δυνηθεῖσα, καὶ αὐτὴ συνεσθίει τοῦ θανάτου τὸ φάρμακον. ὀργὴ διὰ ταῦτα τοῦ βασιλέως πρὸς τὴν μητέρα, καὶ σύλληψις τῶν εὐνούχων αὐτῆς καὶ αἰκισμὸς καὶ ἀναίρεσις· καὶ ἔτι σύλληψις Γίγγης ἣ ᾠκείωτο Παρυσάτιδι, καὶ κρίσις ἐπ᾽ αὐτῇ, καὶ ἀθώωσις μὲν παρὰ τῶν κριτῶν, καταδίκη δὲ παρὰ βασιλέως· καὶ αἰκισμὸς Γίγγης, καὶ ἀναίρεσις· καὶ ὀργὴ διὰ τοῦτο Παρυσάτιδος πρὸς τὸν υἱὸν, κἀκείνου πρὸς τὴν

μητέρα. καὶ τὸ χῶμα δὲ τοῦ Κλεάρχου, δι' ἐτῶν ὀκτὼ, μεστὸν ἐφάνη φοινίκων, οὓς ἦν κρύφα Παρύσατις, καθ' ὃν καιρὸν ἐκεῖνος ἐτελεύτησε, διὰ τῶν εὐνούχων καταχώσασα. αἰτίαι δι' ἃς Εὐαγόρᾳ βασιλεῖ σαλαμῖνος βασιλεὺς Ἀρτοξέρξης διηνέχθη. καὶ ἄγγελοι Εὐαγόρα πρὸς Κτησίαν ὑπὲρ τοῦ λαβεῖν παρὰ Ἀβουλίτου τὰς ἐπιστολάς. καὶ Κτησίου πρὸς αὐτὸν ἐπιστολὴ, περὶ τοῦ διαλλαγῆναι αὐτὸν Ἀναξαγόρᾳ τῷ κυπρίων βασιλεῖ. τῶν παρὰ Εὐαγόρα ἀγγέλων εἰς κύπρον ἄφιξις, καὶ τῶν παρὰ Κτησίου γραμμάτων ἀπόδοσις Εὐαγόρᾳ. καὶ Κόνωνος πρὸς Εὐαγόραν λόγος ὑπὲρ τοῦ πρὸς βασιλέα ἀναβῆναι, καὶ Εὐαγόρα ἐπιστολὴ περὶ ὧν ἠξιώθη ὑπ' αὐτοῦ. καὶ Κόνωνος πρὸς Κτησίαν ἐπιστολή. καὶ βασιλεῖ παρὰ Εὐαγόρα φόρος. καὶ τῶν ἐπιστολῶν Κτησίᾳ ἀπόδοσις. Κτησίου λόγος πρὸς βασιλέα περὶ Κόνωνος, καὶ ἐπιστολὴ πρὸς αὐτόν. τῶν παρὰ Εὐαγόρου δώρων ἀπόδοσις Σατιβαρζάνῃ, καὶ τῶν ἀγγέλων τῶν εἰς κύπρον ἄφιξις. καὶ Κόνωνος ἐπιστολὴ πρὸς βασιλέα καὶ Κτησίαν. ὡς ἐτηρήθησαν οἱ παρὰ λακεδαιμονίων ἄγγελοι πεμφθέντες πρὸς βασιλέα. βασιλέως ἐπιστολὴ πρὸς Κόνωνα καὶ πρὸς λακεδαιμονίους, ἣν Κτησίας αὐτὸς ἐκόμισεν. ὡς ὑπὸ Φαρναβάζου ναύαρχος Κόνων ἐγένετο. Κτησίου εἰς κνίδον τὴν πατρίδα ἄφιξις καὶ εἰς λακεδαίμονα, καὶ κρίσις πρὸς τοὺς λακεδαιμονίων ἀγγέλους, ἐν ῥόδῳ. καὶ ἄφεσις ἀπὸ ἐφέσου μέχρι βάκτρων. καὶ ἰνδικῆς ἀριθμὸς, σταθμῶν, ἡμερῶν, παρασαγγῶν. κατάλογος βασιλέων ἀπὸ Νίνου καὶ Σεμιράμεως, μέχρι Ἀρτοξέρξου. ἐν οἷς καὶ τὸ τέλος.

ΕΚ ΤΩΝ ΤΟΥ ΑΥΤΟΥ ΚΤΗΣΙΟΥ ΙΝΔΙΚΩΝ ΕΚΛΟΓΑΙ.

Κτησίου τὰ ἰνδικὰ ἐστὶν ἐν ἑνὶ βιβλίῳ, ἐν οἷς μᾶλλον ἰωνίζει. λέγει περὶ τοῦ ἰνδοῦ ποταμοῦ, τὸ μὲν στενὸν αὐτοῦ, εὖρος

τεσσαράκοντα σταδίων εἶναι, τὸ δὲ πλατύτατον καὶ διακοσίων. λέγει περὶ αὐτῶν τῶν ἰνδῶν, ὅτι πλείους σχεδὸν συμπάντων ἀνθρώπων. περὶ τοῦ σκώληκος τοῦ ἐν τῷ ποταμῷ, ὃ καὶ μόνον τῶν ἄλλων θηρίων ἐν αὐτῷ γίνεται. περὶ τοῦ μὴ οἰκεῖν ἐπέκεινα αὐτῶν ἀνθρώπους. ὅτι οὐχ ὕει, ἀλλ᾽ ὑπὸ τοῦ ποταμοῦ ποτίζεται ἡ ἰνδική. περὶ παντάρβας τῆς σφραγῖδος· καὶ ὡς οζʹ σφραγῖδας ἀπορριφείσας καὶ τιμίους λίθους εἰς τὸν ποταμὸν, ἅπαντα ἦν τοῦ βακτρίων καπήλου, αὐτὴ ἀνείλκυσεν ἐχομένας ἀλλήλων. περὶ τῶν τειχοκαταλυτῶν ἐλεφάντων. περὶ τῶν μικρῶν πιθήκων τῶν ἐχόντων οὐρὰς τετραπήχεις. περὶ τῶν ἀλεκτρυόνων τῶν μεγίστων. περὶ τοῦ ὀρνέου τοῦ βιττάκου, ὅτι γλῶσσαν ἀνθρωπίνην ἔχει καὶ φωνήν· μέγεθος μὲν ὅσον ἱέραξ, πορφύρεον δὲ πρόσωπον καὶ πώγωνα φέρει μέλανα· αὐτὸ δὲ κυανεόν ἐστιν ὡς τὸν τράχηλον, ὥσπερ κιννάβαρι. διαλέγεσθαι δὲ αὐτὸ ὥσπερ ἄνθρωπον, ἰνδιστί· ἂν δὲ ἑλληνιστὶ μάθῃ, καὶ ἑλληνιστί. περὶ τῆς κρήνης τῆς πληρουμένης ἀνὰ ἔτος ὑγροῦ χρυσίου· ἐξ ἧς ἑκατὸν πρόχοαι ὀστράκινοι ἀνὰ ἔτος ἀρύονται. ὀστρακίνους δὲ δεῖ εἶναι, ἐπεὶ πήγνυται ὁ χρυσὸς ἀπαρυόμενος. καὶ ἀνάγκη τὸ ἀγγεῖον θλᾶν, καὶ οὕτως ἐξάγειν αὐτό. ἡ δὲ κρήνη, τετράγωνός ἐστιν, ἑκκαίδεκα μὲν πηχῶν ἡ περίμετρος, τὸ δὲ βάθος, ὀργυιά. ἑκάστη δὲ πρόχους, τάλαντον ἕλκει. καὶ περὶ τοῦ ἐν τῷ πυθμένι τῆς κρήνης σιδήρου, ἐξ οὗ καὶ δύο ξίφη Κτησίας φησὶν ἐσχηκέναι, ἓν παρὰ βασιλέως, καὶ ἓν παρὰ τῆς τοῦ βασιλέως μητρὸς Παρυσάτιδος. φησὶ δὲ περὶ αὐτοῦ, ὅτι πηγνύμενος ἐν τῇ γῇ, νέφους καὶ χαλάζης καὶ πρηστήρων ἐστὶν ἀποτρόπαιος. καὶ ἰδεῖν αὐτὸν ταῦτα φησί, βασιλέως δὶς ποιήσαντος. περὶ τῶν κυνῶν τῶν ἰνδικῶν, ὅτι μέγιστοι εἰσίν, ὡς καὶ λέοντι μάχεσθαι. περὶ τῶν ὀρῶν τῶν μεγάλων, ἐξ ὧν ἥ τε σάρδω ὀρύσσεται, καὶ οἱ ὄνυχες, καὶ αἱ ἄλλαι σφραγῖδες. ὅτι ἀλέα πολλή, καὶ ὅτι ὁ ἥλιος δεκαπλασίων τὸ μέγεθος ἢ ἐν ταῖς ἄλλαις χώραις αὐτόθι φαίνεται, καὶ πολλοὶ ἐνταῦθα τῷ πνίγει φθείρονται. καὶ θάλασσαν φησὶν αὐτόθι οὐδὲν ἔλαττον τῆς ἑλληνικῆς. τὸ δὲ ἄνω

αὐτῆς ἕως τεσσάρων δακτύλων, θερμὸν εἶναι, ὥστε μὴ ἰχθῦν ζῆν προσπελάσαντα τῷ θερμῷ, ἀλλὰ κάτωθεν διαιτᾶσθαι.

Ὅτι ὁ ἰνδὸς ποταμὸς ῥέων διὰ πεδίων καὶ δι' ὀρέων ῥεῖ· ἐν οἷς καὶ ὁ λεγόμενος ἰνδικὸς κάλαμος φύεται, πάχος μὲν ὅσον δύο ἄνδρε περιωργυιωμένοι περιλάβοιεν· τὸ δὲ ὕψος, ὅσον μυριοφόρου νεὼς ἱστός. εἰσὶ καὶ ἔτι μείζοις καὶ ἐλάττοις, οἵοις εἰκὸς ἐν ὄρει μεγάλῳ. εἶναι δὲ τὴν καλάμην καὶ ἄρρενας καὶ θηλείας. ὁ μὲν οὖν ἄρρην, ἐντεριώνην οὐκ ἔχει, καὶ ἔστι κάρτα ἰσχυρός· ἡ δὲ θήλεια ἔχει. καὶ περὶ τοῦ μαρτιχόρα τοῦ ἐν αὐτοῖς ὄντος θηρίου· ὡς τὸ πρόσωπον ἐοικὸς ἀνθρώπῳ, μέγεθος μὲν ἐστὶν ὥσπερ λέων, καὶ χρόαν ἐρυθρὸς ὡς κιννάβαρι· τρεῖς στοῖχοι δὲ ὀδόντες. ὦτα δὲ ὥσπερ ἀνθρώπου, καὶ ὀφθαλμοὺς γλαυκοὺς, ὁμοίους ἀνθρώπῳ· τὴν δὲ κέρκον ἔχει οἵαν περ σκορπίος ὁ ἠπειρώτης, ἐν ᾗ καὶ τὸ κέντρον ἔχει, μείζω ὑπάρχουσαν πήχεως. ἔχει δὲ καὶ ἐκ πλαγίου τῆς κέρκου ἔνθα καὶ ἔνθα κέντρα. ἔχει δὲ καὶ ἐπ' ἄκρῳ, ὥσπερ σκορπίος, κέντρον· καὶ τούτῳ μὲν ἐάν προσέλθῃ τις, κεντεῖ τῷ κέντρῳ, καὶ πάντως ὁ κεντηθεὶς ἀποθνήσκει· ἐὰν δέ τις πόρρωθεν μάχηται πρὸς αὐτὸν, καὶ ἔμπροσθεν ἱστὰς τὴν οὐρὰν, ὥσπερ ἀπὸ τόξου βάλλει τοῖς κέντροις, καὶ ὄπισθεν ἐπ' εὐθείας ἀποτείνων. βάλλει δὲ ὅσον πλέθρον εἰς μῆκος· καὶ πάντας οὓς ἂν βάλῃ, πάντως ἀποκτείνει, πλὴν ἐλέφαντος. τὰ δὲ κέντρα αὐτοῦ ἐστὶ τὸ μὲν μῆκος, ὅσον ποδιαῖα, τὸ δὲ πλάτος, ὅσον σχοῖνος λεπτότατος. μαρτιχόρα δὲ, ἑλληνιστὶ ἀνθρωποφάγον· ὅτι πλεῖστα ἐσθίει διαιρῶν ἀνθρώποις. ἐσθίει δὲ καὶ τὰ ἄλλα ζῶα. μάχεται δὲ καὶ τοῖς ὄνυξι καὶ τοῖς κέντροις. τὰ δὲ κέντρα πάλιν, φησὶν, ἐπειδὰν ἐκπεσεῖν δέῃ, ἀναφύεσθαι. ἔστι δὲ πολλὰ ἐν τῇ ἰνδικῇ. ἀποκτείνουσι δὲ αὐτὰ τοῖς ἐλέφασιν ἐποχούμενοι ἄνθρωποι, κἀκεῖθεν βάλλοντες. περὶ τῶν ἰνδῶν, ὅτι δικαιότατοι· καὶ περὶ τῶν ἐθῶν καὶ νομίμων αὐτῶν. περὶ τοῦ ἱεροῦ χωρίου τοῦ ἐν τῇ ἀοικήτῳ, ὃ ἐπ' ὀνόματι τιμῶσιν ἡλίου καὶ

σελήνης. ἐν ᾧ διὰ δεκαπέντε ἡμερῶν ἀπὸ τοῦ ὄρους τῆς Σαρδοῦς τις παραγίνεται. καὶ ὅτι λε' ἡμέρας ὁ ἥλιος ψυχρὸς ἐκεῖσε τοῦ ἐνιαυτοῦ, διὰ τὴν ἑορτήν, ἵνα μὴ ἄφλεκτοι αὐτὴν τελέσωσι, καὶ ὑποστρέψωσιν. ὅτι βρονταὶ καὶ ἀστραπαὶ καὶ ὑετοὶ οὐκ εἰσὶν ἐν τῇ ἰνδικῇ, ἄνεμοι δὲ πολλοί, καὶ πρηστῆρες πολλοὶ καὶ ἁρπάζουσιν ὅ,τι ἂν λάβωσιν. ὁ δὲ ἥλιος ἀνίσχων, τὸ ἥμισυ τῆς ἡμέρας ψῦχος ποιεῖ, τὸ δ' ἄλλο, λίαν ἀλεεινὸν ἐν τοῖς πλείστοις τῶν τῆς ἰνδικῆς τόπων. ὅτι ἰνδοὶ οὐχ ὑπὸ τοῦ ἡλίου εἰσὶ μέλανες, ἀλλὰ φύσει. εἶναι γάρ φησιν ἐν αὐτοῖς καὶ ἄνδρας καὶ γυναῖκας λευκοτάτους πάντων, εἰ καὶ ἐπ' ἔλαττον. ἰδεῖν δὲ καὶ αὐτὸν τοιαύτας ἰνδὰς δύο γυναῖκας καὶ πέντε ἄνδρας. ὅτι πιστῶσαι τὰ περὶ τοῦ ἡλίου βουλόμενος, ὡς ἐν λε' ἡμέραις ἐν ἰνδίᾳ ψυχρός, λέγει ὅτι καὶ τὸ πῦρ ἐκ τῆς αἴτνης ῥέον τὸν μέσον χῶρον, ἅτε δικαίων ἀνδρῶν ὄντα, οὐ φθείρει, φθεῖρον τὰ ἄλλα. καὶ ἐν ζακύνθῳ κρηνίδας ἰχθυοφόρους εἶναι ἐξ ὧν αἴρεται πίσσα. καὶ ἐν νάξῳ κρήνην, ἐξ ἧς οἶνος ἐνίοτε ῥεῖ καὶ μάλα ἡδύς. καὶ ὅτι πῦρ ἐστιν ἐγγὺς φασήλιδος ἐν λυκίᾳ ἀθάνατον, καὶ ὅτι ἀεὶ καίεται ἐπὶ πέτρας καὶ νύκτα καὶ ἡμέραν· τῷ ὕδατι μὲν οὐ σβέννυται, ἀλλὰ ἀναφλέγει· φορυτῷ δὲ σβέννυται. ὅτι μέσῃ τῇ ἰνδικῇ ἄνθρωποι εἰσὶ μέλανες, καὶ καλοῦνται πυγμαῖοι, τοῖς ἄλλοις ὁμόγλωσσοι ἰνδοῖς· μικροὶ δὲ εἰσι λίαν· οἱ μακρότατοι αὐτῶν, πηχέων δύο· οἱ δὲ πλεῖστοι, ἑνὸς ἡμίσεος πήχεως. κόμην δὲ ἔχουσι μακροτάτην, μέχρι καὶ ἐπὶ τὰ γόνατα, καὶ ἔτι κατώτερον, καὶ πώγωνα μέγιστον πάντων ἀνθρώπων. ἐπειδὰν οὖν τὸν πώγωνα μέγαν φύσωσιν, οὐκέτι ἀμφιέννυνται οὐδὲν ἱμάτιον, ἀλλὰ τὰς τρίχας, τὰς μὲν ἐκ τῆς κεφαλῆς, ὄπισθεν καθίενται πολὺ κάτω τῶν γονάτων· τὰς δὲ ἐκ τοῦ πώγωνος, ἔμπροσθεν μέχρι ποδῶν ἑλκομένας. ἔπειτα περιπυκασάμενοι τὰς τρίχας περὶ ἅπαν τὸ σῶμα, ζώννυνται, χρώμενοι αὐταῖς ἀντὶ ἱματίου. αἰδοῖον δὲ μέγα ἔχουσιν,

ὥστε φαίνειν τῶν σφυρῶν αὐτῶν, καὶ παχύ. αὐτοὶ δὲ σιμοί τε καὶ αἰσχροί. τὰ δὲ πρόβατα αὐτῶν, ὡς ἄρνες καὶ αἱ βόες καὶ οἱ ὄνοι, σχεδὸν ὅσον κριοί· καὶ οἱ ἵπποι αὐτῶν καὶ οἱ ἡμίονοι καὶ τὰ ἄλλα κτήνη πάντα, οὐδὲν μείζω κριῶν. ἕπονται δὲ τῷ βασιλεῖ τῶν ἰνδῶν, τούτων τῶν πυγμαίων ἄνδρες τρισχίλιοι. σφόδρα γάρ εἰσι τοξόται. δικαιότατοι δέ εἰσι, καὶ νόμοισι χρῶνται ὥσπερ καὶ οἱ ἰνδοί. λαγωοὺς δὲ καὶ ἀλώπεκας θηρεύουσιν, οὐ τοῖς κυσὶν, ἀλλὰ κόραξι καὶ ἰκτῖσι καὶ κορώναις καὶ ἀετοῖς. ὅτι λίμνη ἐστὶν ἐν αὐτοῖς, σταδίων ὀκτακοσίων ἡ περίμετρος, ἐν ᾗ, ἀνέμου μὴ πνέοντος ἐπάνω τῆς λίμνης, ἔλαιον ἐφίσταται. καὶ πλοιαρίοις πλέοντες δι' αὐτῆς, ἐκ μέσης αὐτῆς σκαφίοις τοῦ ἐλαίου ἀπαρύονται καὶ χρῶνται. χρῶνται δὲ καὶ σησαμίνῳ. ἔχει δὲ ἡ λίμνη καὶ ἰχθύας. καὶ τῷ καρυίνῳ δὲ χρῶνται· κρεῖσσον δὲ τὸ λιμναῖον. ἔστι δὲ αὐτόθι ἄργυρος πολὺς, καὶ ἀργύρεια μέταλλα, οὐ βαθέα, ἀλλὰ βαθύτερα εἶναι φασὶ τὰ ἐν βάκτροις. ἔστι δὲ καὶ χρυσὸς ἐν τῇ Ἰνδικῇ χώρᾳ, οὐκ ἐν τοῖς ποταμοῖς εὑρισκόμενος καὶ πλυνόμενος, ὥσπερ ἐν τῷ πακτωλῷ ποταμῷ· ἀλλ' ὄρη πολλὰ καὶ μεγάλα, ἐν οἷς οἰκοῦσι γρύπες, ὄρνεα τετράποδα, μέγεθος ὅσον λύκος· σκέλη καὶ ὄνυχες, οἷάπερ λέων· τὰ ἐν τῷ ἄλλῳ σώματι πτερὰ, μέλανα, ἐρυθρὰ δὲ τὰ ἐν τῷ στήθει. δι' αὐτοὺς δὲ ὁ ἐν τοῖς ὄρεσι χρυσὸς πολὺς ὢν, γίνεται δυσπόριστος. ὅτι τὰ πρόβατα τῶν ἰνδῶν καὶ αἱ αἶγες, μείζους ὄνων εἰσὶ, καὶ τίκτουσιν ἀνὰ τέσσαρα καὶ ἕξ, ὡς ἐπὶ τὸ πολύ. ἔχουσι δὲ οὐρὰς μεγάλας· διὸ τῶν τοκάδων ἀποτέμνουσιν, ἵνα δύνωνται ὀχεύεσθαι. ὗς δὲ οὔτε ἥμερος, οὔτε ἄγριος ἐστὶν ἐν τῇ ἰνδικῇ. οἱ δὲ φοίνικες οἱ ἐν ἰνδοῖς καὶ οἱ τούτων βάλανοι, τριπλάσιοι τῶν ἐν βαβυλῶνι. καὶ ποταμὸν φησὶν ἐκ πέτρας ῥέοντα μέλι. * πολλὰ δὲ λέγει περὶ τῆς δικαιοσύνης αὐτῶν καὶ τῆς περὶ τὸν σφῶν βασιλέα εὐνοίας, καὶ τῆς τοῦ θανάτου καταφρονήσεως. λέγει δὲ ὅτι πηγή ἐστι, καὶ

ἐπειδάν τις ἀρύσῃ τὸ ὕδωρ αὐτῆς, πήγνυται ὥσπερ τυρός. τούτου οὖν τοῦ πηκτοῦ ὅσον τρεῖς ὀβολοὺς ἐὰν τρίψας δῷς ἐν ὕδατι πιεῖν, ἐξαγγέλλει πάντα ὅσα ἔπραξε. παραφρονεῖ γὰρ καὶ μαίνεται ταύτην τὴν ἡμέραν. χρᾶται δὲ αὐτῷ ὁ βασιλεὺς ἐφ᾽ ὧν κατηγορουμένων τἀληθὲς εὑρεῖν ἐθελήσῃ. κἂν μὲν ἐξείπῃ, προστάσσεται ἀποκαρτερῆσαι· ἂν δὲ μηδὲν ἐξελεγχθῇ, ἀφίεται. Ὅτι φησὶν ὡς Ἰνδῶν οὐδεὶς κεφαλαλγεῖ, οὐδὲ ὀφθαλμιᾷ, οὐδὲ ὀδονταλγεῖ, οὐδὲ ἑλκοῦται τὸ στόμα, οὐδὲ σηπεδόνα οὐδεμίαν ἴσχει. ἡ δὲ ζωὴ αὐτῶν, ρκ' καὶ λ' καὶ ν', καὶ σ' οἱ τὰ πλεῖστα βιοῦντες. Ἔστιν ὄφις σπιθαμιαῖος ἐν αὐτοῖς, τὸ δὲ εἶδος αὐτοῦ, ὡς ἡ καλλίστη πορφύρα· ἡ δὲ κεφαλὴ, λευκοτάτη· ὀδόντας δὲ οὐδ᾽ ὅλως ἔχει. θηρεύεται ἐκ τῶν καυματωδεστάτων ὀρέων, ὅθεν ἡ σαρδὼ ὀρύσσεται. δάκνει μὲν οὔ, ὅπου δ᾽ ἂν καταμέσῃ, τοῦτο τὸ χωρίον πάντως σήπεται. ποιεῖ δὲ φάρμακον διττὸν, ἀπὸ τῆς οὐρᾶς κρεμάμενος, ἠλεκτροειδὲς καὶ μέλαν. καὶ τὸ μὲν, ζῶντος ἀπορρεῖ· τὸ δὲ μέλαν, θανόντος. καὶ τὸ μὲν, ὅσον σήσαμον διδόμενον, ὃ ζῶντος ἔρρευσεν, αὐτίκα φθείρει, τοῦ ἐγκεφάλου τοῦ πιόντος, διὰ τῶν ῥινῶν ἀπορρεύσαντος· τὸ δὲ ἄλλο διδόμενον, εἰς φθίσιν ἀπάγει, καὶ δι᾽ ἐνιαυτοῦ μόλις διόλλυσιν. Καὶ ὄρνεον φησὶν ἐπικαλούμενον δίκαιρον, ὅπερ ἑλληνιστὶ δίκαιον σημαίνει· τὸ μέγεθος, ὅσον περδίκου ᾠόν· οὗτος τὸν ἀπόπατον κατορύσσει, ἵνα μὴ εὑρεθῇ. εὑρισκόμενον δὲ ἂν ποθῇ αὐτοῦ ὅσον σησάμου, ἕωθεν ὕπνος ἐπιλαμβάνει· καὶ καθεύδει, μηδὲν αἰσθανόμενος· καὶ δύνοντος τοῦ ἡλίου, τελευτᾷ. Καὶ ξύλον ἐστὶ πάρηβον καλούμενον, τὸ μέγεθος ὅσον ἐλαία· ἐν τοῖς βασιλείοις μόνον εὑρίσκεται κήποις· οὔτε ἄνθος φέρει, οὔτε καρπόν· δεκαπέντε δὲ μόνας ῥίζας ἔχει, καὶ ταύτας παχείας κατὰ γῆς· ἔστι δὲ τὸ πάχος αὐτοῦ ὅσον βραχίων, τὸ λεπτότατον· αὕτη ἡ ῥίζα, ὅσον σπιθαμὴ, λαμβανο-

μένη. οὗ μὲν προσαχθῇ, ἅπαντα ἕλκει πρὸς ἑαυτήν, χρυσόν, ἄργυρον, χαλκόν, λίθους· καὶ τἄλλα πάντα, πλὴν ἠλέκτρου. εἰ δὲ ὅσον πήχεως ἡ ῥίζα ληφθῇ, ἕλκει καὶ ἄρνας καὶ ὄρνεα. ταύτῃ γὰρ καὶ τὰ πλεῖστα τῶν ὀρνέων θηρεύουσι. καὶ ἐὰν βούλῃ καὶ ὕδωρ πῆξαι ὅσον χόα, τῆς ῥίζης ἐμβαλὼν ὅσον ὀβολόν, πήξεις αὐτό· καὶ ἐὰν οἶνον, ὡσαύτως. καὶ ἕξεις τῇ χειρὶ αὐτόν, ὥσπερ κηρόν· τῇ δὲ ὑστεραίᾳ διαχεῖται. δίδοται δὲ κοιλιακοῖς βοήθημα. Ἔστι δὲ καὶ ποταμὸς διαρρέων διὰ τῆς ἰνδικῆς, οὐ μέγας μέν, ἀλλ' ὡς ἐπὶ δύο σταδίους τὸ εὖρος· ὄνομα δὲ τῷ ποταμῷ, ἰνδιστὶ μὲν ὕπαρχος, ἑλληνιστὶ δέ, φέρων πάντα τὰ ἀγαθά· οὗτος τοῦ ἐνιαυτοῦ λ' ἡμέρας ἤλεκτρον καταρρεῖ. φασὶ γὰρ ἐν τοῖς ὄρεσι δένδρα εἶναι ὑπερέχοντα τοῦ ὕδατος (ὕδατι γὰρ ῥεῖται τὰ ὄρη) εἶτα ὥρα ἐστὶν ὅτε δάκρυα φέρει, ὥσπερ ἀμυγδαλῆ, ἢ πίτυς, ἢ ἄλλο τι δένδρον· μάλιστα δὲ εἰς λ' ἡμέρας τοῦ ἐνιαυτοῦ. εἶτα ἀποπίπτει τὰ δάκρυα ταῦτα εἰς τὸν ποταμόν, καὶ πήγνυται. τῷ δενδρέῳ δὲ τούτῳ ὄνομά ἐστιν ἰνδιστὶ σιπταχόρα· ἑλληνιστὶ σημαίνει, γλυκύ, ἡδύ. κἀκεῖθεν οἱ ἰνδοὶ συλλέγουσι τὸ ἤλεκτρον. φέρειν δὲ καὶ καρπὸν τὰ δένδρα βότρυς, ὥσπερ ἄμπελος· ἔχειν δὲ τὰς ῥῶγας ὥσπερ κάρυα τὰ ποντικά. ἐν τοῖσδε τοῖς ὄρεσι φησὶν ἀνθρώπους βιοτεύειν κυνὸς ἔχοντας κεφαλήν. ἐσθῆτας δὲ φοροῦσιν ἐκ τῶν ἀγρίων θηρίων. φωνὴν δὲ διαλέγονται οὐδεμίαν, ἀλλ' ὠρύονται ὥσπερ κύνες. καὶ οὕτως συνιᾶσιν αὐτῶν τὴν φωνήν. ὀδόντας δὲ μείζους ἔχουσι κυνός, καὶ τοὺς ὄνυχας ὁμοίως, κυνῶν, μακροτέρους δὲ καὶ στρογγυλωτέρους. οἰκοῦσι δὲ ἐν τοῖς ὄρεσι, μέχρι τοῦ ἰνδοῦ ποταμοῦ. μέλανες δέ εἰσι καὶ δίκαιοι πάνυ, ὥσπερ καὶ οἱ ἄλλοι ἰνδοὶ οἷς ἐπιμίγνυνται· καὶ συνιᾶσι μὲν τὰ παρ' ἐκείνων λεγόμενα, αὐτοὶ δὲ οὐ δύνανται διαλέγεσθαι, ἀλλὰ τῇ ὠρυγῇ καὶ ταῖς χερσὶ καὶ τοῖς δακτύλοις σημαίνουσιν, ὥσπερ οἱ κωφοὶ καὶ ἄλαλοι. καλοῦνται δὲ ὑπὸ τῶν ἰνδῶν καλύστριοι, ὅπερ ἐστὶν ἑλληνιστὶ κυ-

νοκέφαλοι. τὸ δὲ ἔθνος ἐστὶν ἕως δώδεκα μυριάδων. παρὰ δὲ τὰς πηγὰς τούτου τοῦ ποταμοῦ ἐστὶ πεφυκὸς ἄνθος πορφυροῦν· ἐξ οὗ πορφύρα βάπτεται οὐδὲν ἧττον τῆς ἑλληνικῆς. ἀλλὰ καὶ πολὺ εὐανθεστέρα. ὅτι αὐτόθι ἐστὶ γινόμενα θηρία τὸ μέγεθος ὅσον κάνθαρος, ἐρυθρὰ ὥσπερ κιννάβαρι· πόδας δὲ ἔχει μακροὺς σφόδρα. μαλακὸν δέ ἐστιν ὥσπερ σκώληξ. καὶ γίνεται ταῦτα ἐπὶ τῶν δένδρων τῶν τὸ ἤλεκτρον φερόντων. καὶ τὸν καρπὸν κατεσθίει αὐτῶν καὶ διαφθείρει, ὥσπερ ἐν τοῖς ἕλλησιν οἱ φθεῖρες τὰς ἀμπέλους. ταῦτα οὖν τὰ θηρία τρίβοντες οἱ ἰνδοὶ, βάπτουσι τὰς φοινικίδας καὶ τοὺς χιτῶνας, καὶ ἄλλο ὅ, τι ἂν βούλωνται· καὶ εἰσὶ βελτίω τῶν παρὰ πέρσαις βαμμάτων. ὅτι οἱ κυνοκέφαλοι οἰκοῦντες ἐν τοῖς ὄρεσιν, οὐκ ἐργάζονται, ἀπὸ θήρας δὲ ζῶσιν. ὅταν δὲ ἀποκτείνωσιν αὐτὰ, ὀπτῶσι πρὸς τὸν ἥλιον. τρέφουσι δὲ καὶ πρόβατα πολλὰ, καὶ αἶγας, καὶ ὄνους. πίνουσι δὲ γάλα καὶ ὀξύγαλα τῶν προβάτων. ἐσθίουσι δὲ καὶ τὸν καρπὸν τοῦ σιπταχόρου, ἀφ' οὗ τὸ ἤλεκτρον· γλυκὺς γάρ· καὶ ξηραίνοντες αὐτοὺς, σπυρίδας συρράπτουσιν, ὥσπερ ἐν τοῖς ἕλλησι, τὴν ἀσταφίδα. οἱ δὲ κυνοκέφαλοι σχεδίαν ποιησάμενοι, καὶ ἐπιθέντες, ἀπάγουσι φόρτον τούτου. καὶ τῆς πορφύρας τὸ ἄνθος καθαρὸν ποιήσαντες καὶ τοῦ ἠλέκτρου ξ' καὶ σ' τάλαντα τοῦ ἐνιαυτοῦ· καὶ ὅτῳ τὸ φοινίκιον βάπτεται τοῦ φαρμάκου, ἕτερα τοσαῦτα. καὶ ἠλέκτρου χίλια τάλαντα ἀπάγουσι κατ' ἐνιαυτὸν τῷ ἰνδῶν βασιλεῖ. καὶ ἕτερα δὲ κατάγοντες πωλοῦσι τοῖς ἰνδοῖς, πρὸς ἄρτους καὶ ἄλφιτα καὶ ξύλινα ἱμάτια. πωλοῦσι δὲ καὶ ξίφη, οἷς χρῶνται πρὸς τὴν τῶν θηρίων ἄγραν, καὶ τόξα καὶ ἀκόντια. πάνυ γὰρ καὶ δεινοί εἰσιν ἀκοντίζειν καὶ τοξεύειν. ἀπολέμητοι δ' εἰσὶ, διὰ τὸ οἰκεῖν αὐτοὺς ὄρεα ἄβατα καὶ ὑψηλά. δίδωσι δὲ αὐτοῖς διὰ πέμπτου ἔτους δῶρα ὁ βασιλεὺς, λ' μὲν μυριάδας τόξων, καὶ ἀκόντια τοσαῦτα, πελτῶν δὲ δώδεκα· καὶ ξίφη δὲ πινακισμένα.

τούτοις τοῖς κυνοκεφάλοις οὐκ εἰσὶν οἰκίαι, ἀλλ' ἐν σπηλαίοις διαιτῶνται. θηρεύουσι δὲ τὰ θηρία, τοξεύοντες καὶ ἀκοντίζοντες, καὶ διώκοντες καταλαμβάνουσι· ταχὺ γὰρ τρέχουσι. λούονται δὲ αἱ γυναῖκες αὐτῶν ἅπαξ τοῦ μηνός, ὅταν τὰ καταμήνια αὐταῖς ἔλθῃ, ἄλλοτε δ' οὔ. οἱ δὲ ἄνδρες, οὐ λούονται μέν, τὰς δὲ χεῖρας ἀπονίζονται. ἐλαίῳ δὲ χρίονται τρὶς τοῦ μηνός, ὃ ἀπὸ τοῦ γάλακτος γινομένῳ, καὶ ἐκτρίβονται δέρμασι. τὴν δὲ ἐσθῆτα ἔχουσιν οὐ δασεῖαν, ἀλλὰ ψιλὰν τῶν μασθλημάτων, ὡς λεπτοτάτων, καὶ αὐτοὶ καὶ αἱ γυναῖκες αὐτῶν. οἱ δὲ πλουσιώτατοι αὐτῶν, λινᾶ φοροῦσιν· οὗτοι δ' εἰσὶν ὀλίγοι. κλῖναι δὲ αὐτοῖς οὐκ εἰσίν, ἀλλὰ στιβάδας ποιοῦνται. ἔστι δ' αὐτῶν πλουσιώτατος νομίζεται εἶναι, ᾧ ἂν πλεῖστα πρόβατα ᾖ· ἡ δὲ ἄλλη οὐσία, παραπλησία. οὐρὰν δὲ ἔχουσι πάντες, καὶ ἄνδρες καὶ γυναῖκες, ὑπὲρ τῶν ἰσχίων, οἵαν περ κύων· μείζονα δὲ καὶ δασυτέραν. καὶ μίσγονται ταῖς γυναιξὶ τετραποδιστί, ὥσπερ οἱ κύνες· ἄλλως δὲ μιγῆναι αὐτοῖς ἐστιν αἰσχρόν. δίκαιοι δέ εἰσι καὶ μακροβιώτατοι πάντων ἀνθρώπων. ζῶσι γὰρ ἔτη ρʹ καὶ οʹ, ἔνιοι δὲ αὐτῶν καὶ σʹ. ὑπὲρ δὲ τούτους, ἑτέρους φασὶ βιοτεύειν, ἄνω τῶν πηγῶν τοῦ ποταμοῦ· οὗτοι δὲ οἱ ἄνθρωποι, μέλανες μέν εἰσιν, ὥσπερ καὶ οἱ ἄλλοι ἰνδοί· ἐργάζονται δὲ οὐδέν, οὐδὲ ἐσθίουσι σῖτον, οὐδὲ πίνουσιν ὕδωρ· πρόβατα δὲ πολλὰ τρέφουσι, καὶ βοῦς καὶ αἶγας καὶ ὄϊς· πίνουσι δὲ τὸ γάλα, ἄλλο δὲ οὐδέν. ὅταν δὲ γένηται τινὶ αὐτῶν παιδίον, οὐ τέτρηται τὴν πυγήν, οὐδὲ ἀποπατεῖ· ἀλλὰ τὰ μὲν ἰσχία ἔχει, τὸ δὲ τρῆμα συμπέφυκε· διὸ ἀποπατοῦσι μὲν οὔ, οὐρεῖν δὲ ὥσπερ τυρὸν αὐτούς φασιν οὐ πάνυ παχύν, ἀλλὰ θολερόν. ἐπὰν δὲ πρωῒ πίωσι τοῦ γάλακτος, καὶ εἰς μέσον ἡμέρας αὖθις πιόντες, ῥίζαν φασὶ παρ' αὐτοῖς εἶναι γλυκεῖαν, ἥτις οὐκ ἐᾷ τὸ γάλα πήγνυσθαι ἐν τῇ κοιλίᾳ· ταύτην οὖν τρώγοντες, εἰς ἑσπέραν ἔμετον ποιοῦνται, καὶ ἐξεμοῦσιν ἅπαντα εὐκόλως. ὅτι εἰσὶν ὄνοι ἄγριοι

ἐν τοῖς ἰνδοῖς, ἴσοι ἵπποις, καὶ μείζους· λευκοὶ δέ εἰσι τὸ σῶμα, τὴν κεφαλὴν πορφυροῖ, καὶ ὀφθαλμοὺς ἔχουσι κυανέους. κέρας δὲ ἔχουσιν ἐν τῷ μετώπῳ, ἑνὸς πήχεως τὸ μέγεθος. καὶ ἔστι τὸ μὲν κάτω τοῦ κέρατος, ὅσον ἐπὶ δύο παλαιστὰς πρὸς τὸ μέτωπον, πάνυ λευκόν· τὸ δὲ ἐπάνω ὀξὺ ἐστὶ τοῦ κέρατος· τοῦτο δὲ φοινικοῦν ἐστιν, ἐρυθρὸν πάνυ· τὸ δὲ ἄλλο τὸ ἐν τῷ μέσῳ, μέλαν. ἐκ τούτων οἱ πιόντες (κατασκευάζουσι γὰρ ἐκπώματα) σπασμῷ, φασὶν, οὐ λαμβάνονται, οὔτε τῇ ἱερᾷ νόσῳ· ἀλλ' οὐδὲ φαρμάκοις ἁλίσκονται, οὔτ' ἢν πρόσθεν πίωσι, οὔτ' ἂν τῷ φαρμάκῳ ἐπιπίωσιν ἢ οἶνον, ἢ ὕδωρ, ἢ ἄλλο τι ἐκ τῶν ἐκπωμάτων. οἱ μὲν οὖν ἄλλοι ὄνοι καὶ ἥμεροι καὶ ἄγριοι, καὶ τὰ ἄλλα μώνυχα θηρία πάντα ἀστραγάλους οὐκ ἔχουσιν οὐδὲ χολὴν ἐπὶ τῷ ἥπατος· οὗτοι δὲ καὶ ἀστράγαλον καὶ χολὴν ἐπὶ τοῦ ἥπατος ἔχουσι. τὸν δὲ ἀστράγαλον, κάλλιστον ὧν ἐγὼ ἑώρακα, οἷόνπερ βοὸς καὶ τὸ εἶδος καὶ τὸ μέγεθος· βαρὺς δὲ ὡς μόλιβδος· τὴν δὲ χρόαν, ὥσπερ κιννάβαρι, καὶ διὰ βάθους. ταχύτατον δὲ ἐστὶ τὸ ζῶον τοῦτο καὶ ἀλκιμώτατον· οὐδὲν δὲ οὔτε ἵππος, οὔτε ἄλλο τι διωκόμενον καταλαμβάνει. ἄρχεται δὲ, τρέχον, βραδύτερον· ὅσον δὲ ἂν πλέονα χρόνον τρέχῃ, ἐπιτείνεται δαιμονίως, καὶ μᾶλλον καὶ θᾶσσον τρέχει. ἄλλως μὲν οὖν ἀθήρατόν ἐστι τὸ ζῶον τοῦτο· ὅταν δὲ τὰ τέκνα μικρὰ ὄντα περιάγωσιν ἐπὶ τὴν βοτάνην, καὶ ὑπὸ ἱππείας πολλῆς περιληφθῶσιν, οὐ βούλονται φεύγειν καταλιπόντες τοὺς πώλους, ἀλλὰ μάχονται καὶ κέρασι καὶ λακτίσμασι καὶ δήγμασι, καὶ πολλοὺς καὶ ἵππους καὶ ἄνδρας ἀπολλύουσιν· ἁλίσκονται δὲ καὶ αὐτοὶ, τοξευόμενοι καὶ ἀκοντιζόμενοι· ζῶντας γὰρ οὐκ ἂν λάβοις. τὰ δὲ κρέα, διὰ τὴν πικρότητα, ἄβρωτά ἐστιν. θηρεύεται δὲ τῶν κεράτων καὶ τῶν ἀστραγάλων ἕνεκεν. ὅτι ἐν τῷ ποταμῷ τῶν ἰνδῶν, σκώληξ γίνεται, τὸ μὲν εἶδος, οἷόνπερ ἐν ταῖς συκαῖς εἴωθε γίνεσθαι· τὸ δὲ μῆκος, πήχεων ἑπτά· καὶ μείζους δὲ καὶ ἐλάττους· τὸ δὲ

πάχος δεκαετία παῖδα μόλις φασὶ ταῖς χερσὶ περιλαβεῖν. ἔχουσι δὲ ὀδόντας δύο, ἕνα ἄνω, καὶ ἕνα κάτω· καὶ ὅ,τι ἂν λάβωσι τοῖς ὀδοῦσι, κατεσθίουσι. καὶ τὴν μὲν ἡμέραν ἐν τῇ ἰλύϊ τοῦ ποταμοῦ διαιτῶνται, τῇ δὲ νυκτὶ ἐξέρχονται. καὶ τούτων ὃς ἂν ἐντύχῃ τινὶ ἐν τῇ γῇ βοῒ ἢ καμήλῳ, καὶ δάκῃ, συλλαβὼν ἕλκει εἰς τὸν ποταμὸν, καὶ πάντα κατεσθίει πλὴν τῆς κοιλίας. ἀγρεύεται δὲ ἀγκίστρῳ μεγάλῳ, ἔριφον ἢ ἄρνα ἐνδησάντων τῷ ἀγκίστρῳ, καὶ ἁλύσεσι σιδηραῖς ἐναρμοσάντων. ἀγρεύσαντες δὲ, τριάκοντα ἡμέρας κρεμῶσιν αὐτὸ, καὶ ἀγγεῖα ὑποτιθέασι. καὶ ῥεῖ ἐξ αὐτοῦ ὅσον δέκα κοτύλας ἀττικὰς τὸ πλῆθος· ὅταν δὲ παρέλθωσιν αἱ τριάκοντα ἡμέραι, ἀπορρίπτουσι τὸν σκώληκα. καὶ τὸ ἔλαιον ἀσφαλισάμενοι, ἄγουσι τῷ βασιλεῖ μόνῳ τῶν ἰνδῶν· ἄλλῳ δὲ οὐκ ἔξεστιν ἐξ αὐτοῦ ἔχειν. τοῦτο τὸ ἔλαιον ἐφ᾽ ᾧ ἂν ἐπιχυθῇ, ἀνάπτει, καὶ καταφλέγει ξύλα καὶ ζῷα. καὶ ἄλλως οὐ σβέννυται εἰ μὴ πηλῷ πολλῷ τε καὶ παχεῖ. ὅτι ἐστὶ δένδρα ἐν ἰνδοῖς ὑψηλὰ ὥσπερ κέδρος ἢ κυπάριττος, τὰ δὲ φύλλα ὥσπερ φοῖνιξ, ὀλίγον πλατύτερα· καὶ μασχαλίδας οὐκ ἔχει· ἀνθεῖ δὲ ὥσπερ ἡ ἄρσην δάφνη, καρπὸν δὲ οὐκ ἔχει· ὀνομάζεται δὲ ἰνδιστὶ μὲν, κάρπιον, ἑλληνιστὶ δὲ μυρορόδα· ἔστι δὲ σπάνια· ῥέουσι δὲ ἐξ αὐτοῦ, ἐλαίου σταγόνες, ἃς ἐρίῳ ἀναψῶντες ἀπὸ τοῦ δένδρου, ἀποπιέζουσιν εἰς ἀλαβάστρους λιθίνους. ἔστι δὲ τὸ μὲν χρῶμα, ἀτρέμας ὑπέρυθρον καὶ ὑπόπαχυ, ὄζει δὲ πάντων ἥδιστον. ὄζειν δέ φασιν αὐτὸ καὶ ἐπὶ πέντε σταδίους. μόνῳ δὲ βασιλεῖ κτητόν ἐστι τοῦτο καὶ τοῖς συγγενέσιν αὐτοῦ. ἔπεμψε δὲ ἐξ αὐτοῦ ὁ ἰνδῶν τῷ περσῶν βασιλεῖ. καί φησιν ἰδεῖν αὐτὸ Κτησίας καὶ ὀσφρανθῆναι ὀσμῆς οἵας οὔτε εἰπεῖν ἦν, οὔτε εἰκάσαι. ὅτι τὸν τυρὸν καὶ τὸν οἶνον πάντων φησὶ γλυκύτατον, ὡς αὐτὸς (φησὶ) φαγὼν, διὰ πείρας ἔμαθεν. ὅτι κρήνη ἐν ἰνδοῖς, φησὶν, ὅσον πέντε ὀργυιῶν ἡ περίμετρος, τετράγωνος δέ· ἔστι δὲ τὸ ὕδωρ ἐν πέτρᾳ· βάθος

δὲ εἶναι

δὲ εἶναι μέχρι τοῦ ὕδατος, τριῶν πηχῶν· τὸ δὲ καθ' ὕδατος, τριῶν ὀργυιῶν. λούονται δὲ ἐν αὐτῷ οἱ ἐπισημότατοι τῶν ἰνδῶν, καὶ ἄνδρες καὶ παῖδες καὶ γυναῖκες. κολυμβῶσι δὲ, ἐπὶ πόδας ῥίπτοντες ἑαυτούς· ὅταν δὲ εἰσπηδῶσιν, ἐκβράζει αὐτοὺς τὸ ὕδωρ ἄνω. οὐκ ἀνθρώπους δὲ μόνον ἀναρρίπτει, ἀλλὰ καὶ ἄλλο ὅ, τι ἂν ἢ ζῶον ἐκρίπτει εἰς τὸ ξηρὸν, καὶ ζῶν καὶ τεθνηκός· καὶ ἁπλῶς, πάντα τὰ ἐμβαλλόμενα, πλὴν σιδήρου καὶ ἀργύρου καὶ χρυσοῦ καὶ χαλκοῦ· ταῦτα δὲ δέχεται κάτω. ἔστι δὲ τὸ ὕδωρ πάνυ ψυχρὸν καὶ ἡδὺ πιεῖν· ψόφον δὲ παρέχει μέγαν, ὥσπερ ὕδωρ ζέον ἐκ λέβητος. καθαίρει δὲ τὸ ὕδωρ τοῦτο ἀλφοὺς καὶ ψωριῶντας. καλεῖται δὲ ἰνδιστὶ, βαλλάδη, ἑλληνιστὶ δὲ ὠφελίμη. εἰσὶν ἐν τοῖς ὄρεσι τοῖς ἰνδικοῖς, ὅπου ὁ κάλαμος αὐτῶν φύεται, ἄνθρωποι, τὸ πλῆθος αὐτῶν ἄχρι καὶ τριῶν μυριάδων· τούτων αἱ γυναῖκες ἅπαξ τίκτουσιν ἐν τῷ βίῳ· καὶ τὰ τικτόμενα ὀδόντας ἔχει καὶ τὰ ἄνω καὶ τὰ κάτω πάνυ καλούς· καὶ τὰς τρίχας τάς τε ἐν τῇ κεφαλῇ καὶ ταῖς ὀφρύσι, πολιὰς ἔχει πάντα ἐκ γενετῆς, καὶ τὰ θήλεα καὶ τὰ ἄρρενα. μέχρι μὲν οὖν τριάκοντα ἐτῶν λευκὰς ἔχει ἕκαστος τῶν ἀνθρώπων ἐκείνων τὰς τρίχας δι' ὅλου τοῦ σώματος· ἄρχονται δὲ ἐκεῖθεν μελαίνεσθαι· ἑξήκοντα δὲ ἐτῶν γενομένων, ἔστιν ἰδεῖν αὐτοὺς πάσας ἔχοντας μελαίνας. ἔχουσι δὲ οὗτοι οἱ ἄνθρωποι ἀνὰ ὀκτὼ δακτύλους ἐφ' ἑκατέρᾳ χειρί, ὡσαύτως δὲ ἀνὰ ὀκτὼ καὶ ἐπὶ τοῖς ποσί, καὶ ἄνδρες καὶ γυναῖκες ὡσαύτως. εἰσὶ δὲ σφόδρα πολεμισταί, καὶ βασιλεῖ τῷ ἰνδῶν ἕπονται τοξόται τούτων πεντακισχίλιοι καὶ ἀκοντισταί. τὰ δὲ ὦτα φησὶ τηλικαῦτα ἔχειν, ὥστε τοὺς βραχίονας αὐτῶν ὑπ' αὐτῶν καλύπτεσθαι μέχρι τῶν ἀγκώνων, καὶ ὄπισθεν τὸ νῶτον ἅπαντα συγκαλύπτειν· τὸ δὲ οὖς τὸ ἕτερον τοῦ ἑτέρου θιγγάνει. ταῦτα γράφων καὶ μυθολογῶν Κτησίας, λέγει τἀληθέστατα γράφειν, ἐπάγων ὡς τὰ μὲν αὐτὸς ἰδὼν γράφει, τὰ δὲ παρ' αὐ-

τῶν μαθὼν τῶν εἰδότων· πολλὰ δὲ τούτων καὶ ἄλλα θαυμασιώτερα παραλιπεῖν, διὰ τὸ μὴ δόξαι τοῖς μὴ ταῦτα τεθεαμένοις, ἄπιστα συγγράφειν.

ΕΚ ΤΩΝ ΤΟΥ ΑΓΑθαρχίδου περὶ τῆς ἐρυθρᾶς θαλάσσης ἐκλογαί.

ΕΚ ΤΟΥ ΠΡΩΤΟΥ ΛΟΓΟΥ.

ΟΤΙ Πτολεμαῖόν φησι τὸν μετὰ τὸν Λάγου, πρῶτον ἐλεφάντων θήραν συστήσασθαι· ἀλλὰ γὰρ τὸ τῶν ὁμοιοτρόπων· καὶ τὰ τῇ φύσει κεχωρισμένα, τῇ προνοίᾳ συναγαγεῖν ὑπὸ μίαν οἴκησιν. σκεπτέον δὲ τί φησὶν ἐνταῦθα ὁ ἱστορικός. τό γὰρ καὶ πρὸ τῶν Πτολεμαίων ἐλέφασι πολλοὶ χειροήθεσι καὶ ἐν πολέμῳ ἐχρῶντο, ὡς Πῶρός τε ὁ ἰνδὸς ὁ πρὸς Ἀλέξανδρον πολεμήσας, καὶ ἄλλοι οὐκ ὀλίγοι. ἢ ὅτι Πτολεμαῖος οὗτος πολὺ πρῶτος περὶ ταύτην ὤφθη τὴν σπουδήν, ἢ πρῶτος τῶν μετ' Ἀλέξανδρον, ἢ τῶν αἰγύπτου βασιλέων πρῶτος.

Ὅτι τὴν ἐρυθρὰν θάλατταν τὸ ὄνομα ἑλκύσασθαί φησιν, οὔτε ὅτι τοῦ ἀραβίου καλουμένου κόλπου τὰ μὲν πρὸς ἑσπέραν ὄρη, δριμείας καὶ διαπύρου τῆς ἡλιακῆς ἀκτῖνος βαλούσης, ἄνθρακος φαντασίαν ἀποδίδωσι· τὰ δὲ πρὸς ἀνατολάς, θῖνες ἄμμου γεώδεις ὑπέρυθροι, παρὰ πολλὰ στάδια τῆς αὐτόθι παραλίας ἐκκέχυνται· οὐ μὲν οὖν οὐκ ἐκ τούτου ἐρυθρὰ κέκληται. εἰ γὰρ καὶ ὁ παράπλους μέν ἐστι στενός, τῶν δὲ λόφων

καὶ τινῶν ἐφ' ἑκάτερα τοῦ κόλπου παντὸς ὑπερκειμένων, ἡ πίπτουσα παρὰ ἀμφοτέρων εἰς τὸν πόρον τῶν ἠπείρων αὐγὴ, τῇ χέρσῳ παρεγγυᾷ τὴν θάλατταν ὁμοίαν, τῆς μὲν ἰδίας πάσιν ὁρωμένης, τοῦ δὲ πάθους οὐ πᾶσι γινωσκομένου· διὰ οὖν οὐ διὰ τοῦτό φησι τὴν κλῆσιν λαβεῖν τὴν θάλατταν, εἰ καὶ τῶν περὶ αὐτὸν τοῦτο πολλοῖς ἔδοξεν. οὕτω μὲν οὖν ὁ πρῶτος, εἰ καὶ μὴ ἀληθὴς, τῆς αἰτίας λόγος. δεύτερος δὲ ὁμοίως ἔχων τὸν ἥλιον ἐκεῖσέ φησιν ἐπιτέλλοντα, οὐχ ὡς παρ' ἡμῖν λαμπραῖς ταῖς ἀκτῖσιν εἰς τὸν πόρον βάλλειν, ἀλλὰ παρομοίαις αἵματι. ἐξ ὧν τοῖς ὁρῶσιν ὕφαιμον παρασκευάζειν τὸ πάθος τὴν τῆς θαλάττης ἔμφασιν, καὶ ἐκεῖθεν ἐρυθρὰν κατονομάζεσθαι.

τρίτος δὲ ἐστὶν ὁ ἀρχαϊκὸς λόγος, ὅς ἐστι, φησὶ, τῇ μὲν ἐλπίδι μέγας, τῇ δὲ δόξῃ, κενός. οἱ γὰρ περὶ Κλεινίαν ἱστορικοὶ φασὶν, ἀπὸ τῆς ποιητικῆς ἐξουσίας καὶ αὐτοὶ ἄδειαν λαβόντες, οἱ ἀρχαίοις εἰς αἰθιοπίαν (ἐκαλεῖτο δὲ τότε κηφηνία) παραγεγονότα ἐπὶ λύσει τῆς Κηφέως θυγατρὸς τὸν Περσέα, ἐκεῖθεν δὲ εἰς πέρσας μεταβάντα, πέρσαις μὲν ἀπὸ τῶν ἐγγόνων, τῆς κλήσεως μεταδοῦναι, Ερυθρὰν δὲ γεννῆσαι υἱὸν, καὶ ἐξ ἐκείνου τῇ θαλάσσῃ τὴν κλῆσιν περιάψαι. τοιοῦτος μὲν καὶ ὁ ἀρχαϊκὸς περὶ τῆς Ερυθρᾶς θαλάσσης σχεδιασμός. τέταρτος δὲ καὶ ἀληθὴς, ἔστιν ὃν αὐτὸς μεμάθηκεν παρὰ πέρσου Βόξος δ' ἦν οὕτω ὄνομα, φησὶν, ὃν καὶ ἑλλήνισαι γλῶτταν καὶ γνώμην, καὶ ταῖς ἀθήναις, λιπόντα τὴν πατρίδα, ἐμβιῶναι. ἔλεγεν δὲ ὁ τοῦ πέρσου λόγος ταῦτα. γίνεταί τις κατ' ἀνδρείαν καὶ πλοῦτον ἀδόκιμος, Ερύθρας ὄνομα, γένος μὲν πέρσης, υἱὸς δὲ Μυζαίου· κατῴκησεν δὲ θαλάττης μὲν οὐ πόρρω, κατεναντίον δὲ νήσων ἐρήμων οὐσῶν (οὐ νῦν, ἀλλ' ἐπὶ τῆς μήδων ἡγεμονίας. τότε γὰρ καὶ ὁ Ερύθρας ἐγνωρίζετο) ὃς τοῦ μὲν χειμῶνος ἐν πασαργάδαις ἐποιεῖτο τὴν οἴκησιν, ἔαρος δὲ μετέβαινεν ἐπὶ τὴν ἰδίαν κλῆσιν, τῆς τε ἄλλης ἕνεκα χρείας, καὶ

χαίρειν τινὰ τῷ βίῳ διὰ τῆς τοιαύτης μεταβολῆς ἀπονέμων. τούτου φορβάδων ἀγέλη μείζονι λέοντες ἐπορούσαντες, τινὰς μὲν αὐτῶν ἀπέκτειναν, αἱ δὲ περισωθεῖσαι, τῷ δέει τῆς ὄψεως οἶστρον λαβοῦσαι, ἐπὶ τὴν θάλατταν ἠλαύνοντο. καὶ (ἦν γὰρ αὔρα κατὰ τύχην ἀπόγαιος) ἀμεγέθεις ἐμπεσοῦσαι τοῖς ῥείθροις μετὰ πλώσεως, τὰ μὲν πρῶτα παρὰ τὴν γῆν ἀνήχοντο, τοῦ δὲ δείματος οὐ λήγοντος, ἐξεκυμαίνθησαν· καὶ μόλις ἐπὶ τὸ τῆς ἀντικρὺ νήσου πέρας διεσώθησαν, ἑνὸς τῶν αἰπόλων, νεανίου καὶ τόλμῃ διαφέροντος, συμπαραιωθέντος, δηλονότι ἄλλης τῆς αἱμῶν ἀντεχομένου. ὁ οὖν Ἐρύθρας ζητῶν τὰς οὐ φαινομένας φορβάδας, πρῶτος τῶν ἐκεῖσε σχεδίας ἐπήξατο, μεγέθει μὲν συμμέτρους, τῇ δυνάμει δὲ στερεάς· καὶ λαβὼν στάσιν οὐρίου καὶ συμμέτρου πνεύματος, ἀφῆκεν εἰς τὸν πόρον. ταχὺ δὲ τοῦ κύματος αὐτὸν περαιώσαντος, εὗρε μὲν τὰς ἵππους, εὗρε δὲ τὸν νομέα. θαυμάσας δὲ τὴν νῆσον, καὶ πόλισμα ἐπὶ λιμένος εὐκαίρου ἱδρύσατο, καὶ ἐκ τῆς ἀντιπέραν τοὺς ἀπορροῦντας βίου μετενεγκὼν ἐπόλισεν. ἐκεῖθέν τε καὶ τὰς ἄλλας νήσους, ἐρήμους οὔσας ἀνθρώπων, οἰκήσεσιν ἐξημέρωσεν· καὶ τηλικαύτην δόξαν ἐκ τῶν πραχθέντων πολλοῖς ἐνεποίησεν, ὥστε τὴν ἐκεῖσε θάλατταν, οὖσαν ἄπειρον μεγέθει, πάντας ἔτι καὶ καθ' ἡμᾶς ἐπονομάζειν ἐρυθράν. τὰ μὲν οὖν αἴτια τῆς κλήσεως, ἔχοντα διαφοράν. μέγα γὰρ τὸ παραλλάττον, Ἐρύθρα θάλατταν εἰπεῖν, ἢ θάλατταν ἐρυθράν. τὸ μὲν γὰρ τὸν κυριεύσαντα σημαίνει τῆς θαλάττης ἄνδρα, τὸ δὲ τὴν πυρρότητα δηλοῖ τῆς ῥηθείσης φύσεως, ἐν τούτοις. ἔστι δέ, φησί, τὸ μὲν ἀπὸ τοῦ χρώματος τὴν κλῆσιν κατασκευάζον, ψεῦδος (οὐ γάρ ἐστιν ἐρυθρά) τὸ δ' ἀπὸ τοῦ δυναστεύσαντος, ἀληθές, ὡς ὁ Πέρσης λόγος ἐπιστώσατο.

Ὅτι οὐδὲ ἀπό τινος τῶν τοῦ Περσέως ἐγγόνων ἄξιοί εἰσι (καί τοι πολλῶν δὴ ἄλλων λεγόντων) τὴν κλῆσιν τοὺς Πέρσας κληρώσασθαι.

μὴ γὰρ ἐκείνους σφᾶς αὐτοὺς Πέρσας παροξυτόνως ὀνομάζειν, ἀλλὰ Περσᾶς, ἐπὶ τέλους τῆς περισπωμένης τιθεμένης.

Ὅτι τὰ κατὰ τὸν Περσέα εἰς ψεῦδος καὶ δι' ἄλλων πολλῶν ἀπάγειν σπουδάζων, προστίθησι καὶ ταῦτα, Πλὴν εἰ μὲν τραγικῶς ὁ Περσεὺς ἐστράτευται τὸ πρόσωπον περιθέμενος καὶ τὴν ἅρπην λαβών, καὶ περὶ τῶν ἑξῆς ἐπιστρέψας ὑποκριτῇ καὶ χορῷ διαλύεσθαι, καὶ τὰ τῆς ἀπολογίας εἰς μῦθον ὡς οἱ πολλοὶ συγκεχωρήκασιν, ἐπιδραμοῦμαι τῶν τοιούτων τὰ κεφάλαια διὰ βραχέων· Κένταυρον γεγονέναι, Γηρυόνην, Κύκλωπα, Χρύσην, Κίρκην, Καλυψώ, Μινώταυρον, Σκύλλαν, Χίμαιραν, Πήγασον, Λαιστρυγόνας, Κέρβερον, Γλαῦκον θαλάττιον, Ἄτλαντα, Πρωτέα, Νηρέα, Νηρεΐδας, τοὺς παῖδας τοῦ Ἀλωέως, ἐννεοργυίους μὲν αὐξηθέντας μῆκος, ἐννεαπήχεις δὲ εὖρος. ἔτι δὲ γένος μὲν ἀναφῦναι καθ' Ἡσίοδον, πρῶτον μὲν χρυσοῦν, ἔπειτα ἀργυροῦν, εἶτα χαλκοῦν. πάλιν, ἵππους μὲν γενέσθαι περὶ τῶν μελλόντων συλλαλοῦντας Ἀχιλλεῖ, Σφίγγα δὲ τῶν Θηβαίων παισὶν αἴνιγμα προβάλλουσαν, Σειρῆνας δὲ ἐπ' ὀλέθρῳ τῶν ἀκροωμένων ᾀδούσας, Νιόβην δὲ καὶ Πολυδέκτην διὰ φόβον ἀπολιθουμένους. ἐπὶ δὲ τούτοις, τοὺς Ὀδυσσεῖ συμπλεύσαντας, ἐκ μὲν ἀνθρώπων, εἰς σῦς, ἐκ συῶν δὲ εἰς ἀνθρώπων μεταβαλεῖν διάθεσιν. ἔτι, Τάνταλον τιμᾶσθαι μὲν διὰ σωφροσύνην, συνέστιον ὄντα θεοῖς, τιμωρεῖσθαι δὲ δι' ἀκολασίαν, ἐν ἀέρι φερόμενον. ἑτέρους εἰς ᾅδου καταβαίνοντας διὰ προαίρεσιν, τοὺς μὲν, ὅπως ὑπὲρ τῶν ζώντων τοῖς νεκροῖς μάντεσι χρήσαιντο· τοὺς δὲ ἵνα τὴν Περσεφόνην, ὡς ἔρημον ὑπάρχουσαν, βίᾳ νυμφεύσωσι. καὶ κριὸν ἐπὶ προβάτου γενέσθαι χρυσόμαλλον. μηλέας ἐν τῇ Λιβύῃ πεφυκέναι μῆλα φερούσας χρυσᾶ. σῶμα ἔμψυχον πάντα τὸν βίον διακαρτερεῖν ἄγρυπνον. Βορέαν καὶ Νότον μετὰ τῶν ἄλλων ἀνέμων ἐν ἀσκῷ πνίγεσθαι συγκεκλεισμένους. πρὸς

τούτοις, Πασιφάην μὲν ταύρῳ, Τυρὼ δὲ ποταμῷ μίγνυσθαι, πρὸς οὐδὲν γένος τὴν φύσιν ἐχούσας ἀλλόφυλον. καὶ Φιλομήλαν μὲν ἀηδόνος ἐξαλλάξαι μορφὴν, Τηρέα δὲ ἔποπος, Εκάβην δὲ εἰς κυνὸς οἰκουροῦ καταστρέψαι φύσιν. ἐπὶ τούτοις, τὴν Ιὼ γεγονέναι μὲν ποταμοῦ θυγατέρα, ταυρικέρῳ δὲ μορφῇ διαπερᾶσαι βοὸς οἰστρώσης τὸ ποντικὸν πέλαγος· ἀφ᾽ ἧς καὶ τὸν Βόσπορον εἰληφέναι τὴν κλῆσιν. ἔτι, Καινέα τὸν Λαπίθην τὸ μὲν ἀπ᾽ ἀρχῆς γενέσθαι παρθένον καὶ γυναῖκα· ἡβήσαντα δὲ, εἰς ἄνδρα μεταστῆναι· τὸ δ᾽ ὕστατον, εἰς τὴν γῆν ὑπὸ τῶν Κενταύρων καταδῦναι, ταῖς ἐλάταις τυπτόμενον, ὀρθόν τε καὶ ζῶντα. καὶ Λήδαν μὲν ἀντὶ τῆς καθηκούσης γυναικὶ τεκνώσεως, ᾠοῦ τεκεῖν φύσιν, ἐξ οὗ τὸ περιμάχητον εἶδος, τὴν Ελένην λέγω, τυπωθῆναι. τὴν δὲ Ελλὴν καὶ Φρίξον ἐπὶ κριοῦ τοῖς ποσὶ πετομένοις, τὸν πόρον κατανύσαντας, τὴν ἐφ᾽ ἑκάτερα θάλατταν, ἑλλήσποντον ἀφ᾽ ἑαυτῶν προσαγορεῦσαι. τὸν δὲ Ηρακλέα καὶ τὰ πελάγη μὲν, οὗ μέγιστοι χειμῶνες, ἐν λέβητι διαπλεῖν· τὴν δὲ Λιβύην, ἄπορον, ἄνυδρον, ἀπόρρυτον ὑπάρχουσαν, μόνον διεξέρχεσθαι· τῷ δὲ Ατλαντι τὸν τηλικοῦτον διαδέξασθαι κόσμον, πρόσταγμα μὲν οὐκ ἔχοντα, χάριν δὲ τιθέμενον. καὶ τῷ μὲν Ορφεῖ κιθαρίζοντι, διὰ φιλομουσίαν τὰ ὄρη καὶ τὰς πέτρας ἀκολουθεῖν· κρέα δὲ ὀπτώμενα τῶν ἡλίου βοῶν φωνὴν προΐεσθαι τοῖς ἀνθρώποις συνετήν. τῶν δὲ μετηλλαχότων τὸν βίον ἐπὶ σχολῆς πρὸς Οδυσσέα διεξέρχεσθαι παντοδαπὴν ἀδολεσχίαν, ἐκ τῆς ἀμόρφου σκιᾶς τὸ τῆς ὄψεως γινώσκοντας ἰδίωμα· καὶ τοὺς μὲν αὐτῶν ἀπὸ τοῦ πίνειν, οὐ κοιλίας, οὐ βρόγχους ἔχοντας· ἑτέρους δὲ φοβεῖσθαι τὸν σίδηρον, οὐκέτι δυναμένους βλαβῆναι· τινὰς δὲ πέτρον κυλίειν, τῶν σωμάτων πάλαι κατακεκαυμένων· ἄλλους δὲ δικάζειν ἑτέροις τεθνηκόσιν, ἀδικήματος οὐδενὸς ὑπάρχοντος· τὸ δ᾽ ἔσχατον, τῶν οὐκέτι ὄντων

τοὺς τύπους ἐν πορθμῷ διαπλεῖν, ἔχοντας Χάρωνα ναύκληρον καὶ κυβερνήτην, ἵνα μὴ καταςκαφέντες, ἐκφορᾶς ἐπιδέωνται πάλιν. καὶ τὴν μὲν Ἄλκηστιν καὶ Πρωτεσίλαον καὶ Γλαῦκον τετελευτηκότας, πάλιν ἀναστῆναι· τὴν μὲν ὑφ' Ἡρακλέους ἀναχθεῖσαν· τὸν δὲ, διὰ τὸν τῆς γυναικὸς ἔρωτα· τὸν δὲ, ὑπὸ τοῦ μάντεως τοῦ συγκαταπνιχθέντος. τοῦ δὲ Ἀμφιαράου ζῶντος τὸ σῶμα καταδέξασθαι μετὰ τῶν ἵππων καὶ τοῦ δίφρου τὴν γῆν. ἔτι τινὰς ὀδόντας ἐκ Κάδμου σπαρῆναι δράκοντος· ἐκ δὲ τούτων ὁπλίτας ἀνατεῖλαι μαχουμένους ἀλλήλοις. τὸν δὲ Τάλων τὸν φύλακα τοῦ Μίνω, τρὶς μὲν ἐν ἡμέρᾳ πᾶσαν περιπολεῖν τὴν κρήτην, τηλικαύτην οὖσαν, τὴν δὲ ζωὴν μόνον τῶν ἐμψύχων τοῦτον ἐν τῷ σφυρῷ κεκτῆσθαι. καὶ τοῦ Μίνω δὲ ἀμήχανον εἶναι παραλῦσαι τὸν βίον, εἰ μή τις αὐτῷ ζέον ὕδωρ καταχέαι. πρὸς τούτοις, ὑπὸ μὲν τῆς Μηδείας γέροντα κριὸν ἐπῳδαῖς μεταπεσόντα, νέον γενέσθαι πάλιν· ὑπὸ δὲ τῶν Πελιάδων καθεψηθῆναι τὸν πατέρα Πελίαν, ἵνα γένηται νέος. τὰς δὲ Φορκίδας, τρεῖς μὲν οὔσας γραίας, ἑνὶ δὲ χρωμένας ὀφθαλμῷ, διεξάγειν τὸν βίον, ἄλυτον παρ' ἀλλήλων κατὰ μέρος ἀμειβομένας πίστιν. ἔτι δὲ, τοὺς τὴν ἀρκαδίαν οἰκοῦντας καὶ τὴν ἀττικὴν, γηγενεῖς τε εἶναι καὶ παρὰ φύσιν γεγονέναι. καὶ τὴν μὲν ἐν Αὐλίδι σφαγεῖσαν, ἐν Ταύροις ἀναφανῆναι ζῶσαν· τὴν δ' ἐν πελοποννήσῳ καταποντωθεῖσαν, ὑπὸ τοῦ πατρὸς Ἀκρισίου τῇ παραλίᾳ τῇ σεριφίων ἀβλαβῆ μετὰ τοῦ βρέφους προσπεσεῖν. τὸν δ' ὑπὸ Μενελάου κατὰ τὴν μονομαχίαν ἤδη χειρούμενον, ἐξαίφνης ἁρπαγέντα, ἐν τῷ θαλάμῳ γενέσθαι, πρὸς συνουσίαν ἕτοιμον ὄντα, τῶν δεινῶν ἁπάντων ἐπιλελησμένον· τοῦ δὲ δουρείου τὸ κύτος οὐκ ἐφ' ἁλώσει συμπαγῆναι πόλεως, ἀλλ' ἐπὶ προδοσίᾳ τῶν περὶ τὸν Ὀδυσσέα καὶ τὸν Νεο-

πόλεμον. τοιαύτην ὁ ποιητὴς ὑπογράφει τὴν ἀνάγκαν καὶ τοῦ κατασκευάσαντος τείχους, καὶ τῶν ἐμβατῶν ἀρχαιστέων, καὶ τῶν ὑποδεξαμένων εἰς τὴν ἰδίαν πόλιν. ἐπὶ τούτοις, ὅτι τὸν τηλικοῦτον οὐρανὸν μετὰ τῶν ἐν αὐτῷ διατριβόντων θεῶν τοῖς ἰδίοις ὁ Ἄτλας ὤμοις ὑπειληφὼς, ὅμως τὰς καλουμένας Ἀτλαντίδας ἐτεκνοποιήσατο. ὅπερ ἀμήχανον.
Ὅτι τὴν ἅπασαν οἰκουμένην ὠκεανὸς περικυκλοῖ, φρουρῶν καὶ συνέχων τοῖς ἑαυτοῦ ῥεύμασιν· οὗ φησὶ πέραν οἰκεῖν τὰς Γοργόνας Ἡσίοδος. Ὅτι τῶν ἡρώων τινὲς ἀπαθῆ τὴν διαμονὴν τῶν σωμάτων διαφυλάττουσι πάντα τὸν χρόνον ἐν ταῖς μακάρων νήσοις· ἃς οὐδεὶς κυρίως ἱστόρηκεν. καὶ ταῦτα μὲν εἰς ἄπορον καταστρέφοντα δόξαν, πολλαῖς καὶ τῶν γυναικῶν εὐλογεῖν παραδίδωσι χλευασμόν. τῶν δ' αὖ θεῶν πῶς παραδεξώμεθα, τὸν μὲν, ἐν μηρῷ καταῤῥαφέντα τραφῆναι· τὴν δὲ, τῇ τοῦ Διὸς κεφαλῇ κοιλίᾳ χρήσασθαι· τὸν δὲ, ἄνευ τοῦ πατρὸς τελειωθῆναι (λέγω δὴ τὸν Ἥφαιστον) τὸν δὲ ἥλιον, διὰ τὰς Ἀτρέως εἰς Θυέστην πράξεις, τὴν μὲν δύσιν, ἀνατολὴν ποιῆσαι, τὴν δὲ ἀνατολὴν, δύσιν; πρὸς δὲ τούτοις, Ἀπόλλωνα μὲν καὶ Ποσειδῶνα ἐν Τροίᾳ θητεύσαντας ἐνιαυτὸν, οἰκοδομίας ἀποστερηθῆναι μισθὸν καὶ βουκολίας, ταῖς δεινοτάταις ὑπὸ Λαομέδοντος περιπεσόντας ἀπειλαῖς· Διόνυσον δὲ ὑπὸ Λυκούργου διὰ φόβον καταδιωχθέντα εἰς τὴν θάλατταν, πρὸς Θέτιν καταφυγεῖν. πρὸς δὲ τούτοις, ἔριν ὑπὲρ κάλλους καταστῆναι θεαῖς, ὧν ἑκάστη μὲν ἐδέκαζε τὸν κριτὴν τοῖς παρ' ἑαυτῇ δώροις, ἵνα παρείδῃ τὸ δίκαιον· οὐδεμιᾷ δὲ παρηκολούθει τὸ συμπεσούμενον ἐκ τῆς κρίσεως τέλος. ἔτι, τὸ μὲν Ἀθηνᾶς μέγεθος εἰς χελιδόνος συγκαταβαίνειν ὄγκον, τὸ δὲ τοῦ Διὸς ἀξίωμα εἰς κύκνου καταστάλῆναι τάξιν· τὸ δὲ τῆς Δημήτρας κάλλος εἰς τὴν αἰσχίστην μεταστῆναι διάθεσιν· τὸν δὲ νομιζόμενον μέγι-

τὸν Δία ἐπιβουλευθῆναι μὲν ὑπὸ τοῦ ἀναγκαιοτάτου τῆς γυναικὸς ἀδελφοῦ, σωθῆναι δὲ ὑπὸ τῶν ἐχθίστων, λέγω δὴ τῶν Τιτάνων· οὓς ἀναβάντας ἐκ τῶν δεσμῶν καὶ τοῦ σκότους καὶ τῆς ἐκεῖσε φυλακῆς, ἐπεὶ τὴν χρείαν παρέσχοιντο, φοβήσαντες τοὺς περὶ τὸν Ποσειδῶνα, καταβῆναι πάλιν ἑκουσίως εἰς τὸν ἀχέροντα καὶ τὸν ᾅδου τόπον. ἔτι, τὴν μὲν Ἀφροδίτην τιτρωσκομένην ὑπὸ θνητῆς δυνάμεως, τὸν δὲ Ἄρην δεσμούμενον ὑπὸ Ὤτου καὶ Ἐφιάλτου· τὸν δὲ Ἅδην, ἐν ᾧ τόπῳ τὴν βασιλείαν εἶχεν, ἐκεῖσε ὑφ' Ἡρακλέους τοξευθέντα ταῖς μεγίσταις ἀλγηδόσι περιπεσεῖν· τὸν δὲ Ἥφαιστον, ἀπὸ τοῦ κατὰ τὸν οὐρανὸν ἀπορριφθέντα ὕψους, εἰς λῆμνον ἐνεχθῆναι, διακείμενον ἐσχάτως. τῆς δ' Ἥρας ὑπὸ τοῦ Διὸς κρεμαμένης ἐκ τῶν ποδῶν ἐκδεθῆναι παμμεγέθεις ἄκμονας. καθόλου δὲ θεοὺς μοιχεύοντας, κεραυνουμένους, κυλλόποδας, κλέπτειν εἰθισμένους, ἀνθρώπων ἀσθενεστέρους, περὶ χεῖρας λοιδοροῦντας, ἀδικοῦντας, μεμψιμοιροῦντας· πέρας, οὐθενὸς πάθους ἐκτὸς καθεστῶτας, ὑφ' ὧν ἡμεῖς ὀχλούμενοι, τοὺς θεοὺς ἐπικαλούμεθα. οἱ οὖν τὰ τοιαῦτα τερατευόμενοι, πόρρω τῆς ἀληθείας ἱστάμενοι, οὐκ ἂν ἑτέροις ταύτην εἰσηγεῖσθαι κριθεῖεν ἂν ἀξιόλογοι. διὰ τοιούτων καὶ τοσούτων Ἀγαθαρχίδης τὰ περὶ τὸν Περσέα εἰς ὁμοίους ἀπάγει μύθους, οὐδὲ τὴν ἐρυθρὰν ἐκ τοῦ παιδὸς αὐτοῦ κληθῆναι δίδωσιν.

Ὅτι αὐτός, φησίν, ἑαυτῷ αἴτιος καθίσταται ἐλέγχων ὁ τὴν τῶν μυθοποιῶν ἐξουσίαν εἰς πραγματικὴν μετάγων ἐνέργειαν· ἧς ἄν τις ἀφέλῃ τὸν ἔλεγχον, οὐδὲν ἀπλέστερον καταλείψει γένος τῆς πίστεως ἑρμηνείας. ἐπεὶ διὰ τίνα αἰτίαν Ὅμηρον οὐκ εὐθύνω, Διὸς καὶ Ποσειδῶνος φράζοντα διαφοράν, ἀδύνατον ἀνθρώπῳ πίστιν παραδοῦναι· οὐδ' Ἡσιόδῳ μέμφομαι, δηλοῦν τολμῶντι θεῶν γένεσιν· οὐδ' Αἰσχύλον ἐπιπλήττω, πολλοῖς διεψευσμένον, καὶ πολλὰ συγγράφοντα τῶν

ἀσυγχωρήτων· οὐδ᾽ Εὐριπίδου κατηγορῶ, τῷ μὲν Ἀρχελάῳ περιτεθεικότος τὰς Τημένου πράξεις, τὸν δὲ Τειρεσίαν βεβιωκότα παρεισάγοντος πέντε γενεῶν πλέον· οὐδὲ τοῖς ἄλλοις εἰς ἐπιτίμησιν ἄγω, διασκευαῖς ἐν τοῖς δράμασι χρωμένοις ἀδυνάτοις; ὅτι πᾶς ποιητὴς ψυχαγωγίας ἢ ἀληθείας ἐστὶ στοχαστής.

Ὅτι καὶ τὴν ἰνδικὴν χώραν ἐλέφαντας τρέφειν φησὶ καὶ τὴν αἰθιοπίαν, ἣ τοῖς θηβαίων ὁρίοις ἐστὶν ὅμορος· καὶ δὴ καὶ τὴν λιβύην.

Ὅτι τέτταρες τόποι τὴν αἴγυπτον περιειλήφασιν· ἀπὸ μὲν τῆς ἄρκτου τὸ πέλαγος, ἀπ᾽ ἀνατολῆς δὲ καὶ δύσεως, ἐρημίαι· ἀπὸ δὲ τῆς μεσημβρίας, αἰθίοπες.

ΕΚ ΤΟΥ ΠΕΜΠΤΟΥ ΛΟΓΟΥ.

ΟΤΙ Πτολεμαῖος, φησὶν, εἰς τὸν κατ᾽ Αἰθιόπων πόλεμον ἀπὸ τῆς ἑλλάδος πεντακοσίους συνέλεξεν ἱππεῖς. ὧν τοῖς προκινδυνεύειν μέλλουσι καὶ καθηγουμένοις, τὸ πλῆθος οὖσιν ἑκατὸν, ὁπλισμοῦ περιέθηκεν τρόπον. στολὰς γὰρ αὐτοῖς τε καὶ τοῖς ἵπποις ἀνέδωκε πιλητὰς, ἃς οἱ κατὰ τὴν χώραν ἐκείνην προσαγορεύουσι κάσας· ὥστε πᾶν κρύπτειν σῶμα, πλὴν τῶν ὀφθαλμῶν.

Ὅτι ἀπὸ μεμφιτῶν ἄστεος εἰς τὴν θηβαΐδα πέντε εἰσὶ μεταξὺ νομοὶ ἐθνῶν, ἔχοντες πολυάνθρωπον τάξιν· πρῶτος μὲν, ὁ ἡρακλεοπολίτης· δεύτερος, ὁ λυκοπολίτης· τρίτος, ὁ ὀξυριγχίτης· τέταρτος, ὁ ἑρμουπολίτης· πέμπτος, ὃν οἱ μὲν φυλακὴν, οἱ δὲ σχεδίαν καλοῦσιν. ἐν ταύτῃ τῶν ἄνωθεν καταγομένων εἰς πρᾶξιν ταττομένων... πράττονται καὶ τιθέασι τὸ τέλος. τοῖς δὲ εἰρημένοις ὑπερβάλλοντι τόποις, ἀρχὴ τῆς θηβαΐδος ἡ λύκων πόλις.

εἶτα Ἀφροδίτης ἄλλη. πρὸς δὲ ταύταις Πανὸς, ἔπειτα Θινίς, μετὰ ταύτην Βοπὸς, ὑφ' ἣν Διὸς πόλις, ἣν καλοῦσι μικράν. μετὰ δὲ τὸν προσηγορευμένον Τεντυρίτην νομὸν, Ἀπόλλωνος ὀνομάζεται πόλις· ἧς ἐπάνω μὲν Κοπτὸς, ἔπειτα ἐλεφαντίνη, εἶτα αἰθιόπων χώρα, κορτία πρώτη. ταῦτα μὲν οὖν ἀπὸ Μέμφεως ἕως αἰθιοπίας, εἴρηται.

Ὅτι πλησίον τῆς ἐρυθρᾶς θαλάσσης, καθ' ὃν ὁ νεῖλος πολλὰς ἐκτροπὰς καὶ παραφορὰς ποιούμενος, ὅμως ἐκεῖσε ἀποκάμπτει περιφανῶς, καὶ ποιεῖται κατὰ τὴν δεξιὰν ῥύσιν τῶν αἰκώνων τὴν μεγάλην κλίσιν, ἔκ τε τοῦ πελάγους κόλπος εἰς τὴν ἤπειρον ἀνατείνεται πολὺς, ὥστε τὴν μεταξὺ διάμετρον τῶν ὑδάτων τοῦ τε ἁλμυροῦ καὶ ποτίμου παραπλήσιον πηλῷ πολλῷ τὴν συστολὴν λαμβάνειν. κατὰ γοῦν τὴν εἰρημένην θάλατταν πλησίον ὄρη τινα τῶν καλουμένων γινσίων πλῆθος ἔχοντα μετάλλων, τῇ χρόᾳ μὲν ὄντα καθ' ὑπερβολὴν μέλανα, μαρμάρου δὲ ποιοῦντα ταῖς αὐταῖς ἐν ἑαυτοῖς ἐκφύσεις, ὥστε πᾶν λείπεσθαι τὸ διαμιλλώμενον, τῆς λευκότητος κρίσιν οὐκ ἐχούσης.

Ὅτι οἷς ἐσχάτοις, φησὶ, κατέχει ἀκλήρημα, τούτους ἡ τυραννὶς εἰς τὴν τῶν χρυσωρυχίων ἀπάγει πικροτάτην δουλείαν· τοὺς μὲν, ἅμα γυναιξὶ καὶ παισὶ ταλαιπωρουμένους, τοὺς δὲ τὰ χεῖρας τῶν εἰρημένων. ὑπερβολὴν οὖν οὐδενὶ τὸ πάθος δεξιουχήματι καταλιπεῖν ἐκτραγῳδήσας, τὸν τρόπον ἀπαγγέλλει τὸν περὶ τὸ χρυσίον ἐργασίας. τῶν ὀρῶν, φησὶν, ἐν οἷς ὁ χρυσὸς εὑρίσκεται, τὰ μὲν ἀπότομα καὶ τελέως σκληρὰν ἔχοντα φύσιν, ἐμπρήσαντες ὕλῃ, καὶ χαῦνα τῷ πυρὶ ποιήσαντες, οὕτως αὐτοῖς προσάγουσι τὴν πεῖραν. τὰ δ' ἀνειμένα τῇ πέτρᾳ, σιδήρῳ λατομικῷ κερματίζονται. καθηγεῖται δὲ τῶν ἄλλων τεχνίτης ὁ τὸν λίθον διαιρῶν· ὅταν δὲ οὗτος τοῖς μεταλλεύουσι τὰς ὁδοὺς ὑποδείξῃ, τὸ πᾶν ἔργον καταμερίζεται

τῇ τῶν ἀτυχούντων ἀνάγκῃ. τοῦτον τὸν τρόπον οἱ μὲν εὔρωστοι καὶ νέοι τύπτουσι σιδηραῖς κόπτισι τὴν χώραν τὴν μαρμαρίζουσαν, οὐ τέχνῃ τὴν πληγὴν, ἀλλὰ βίᾳ· καὶ τέμνουσι διὰ τῆς πέτρας ὑπονόμους πλείονας οὐκ εὐθεῖς, ἄλλοτε μὲν ἄνω τῆς χρυσίτιδος ἀπονδυούσης λίθου, ποτὲ δὲ κατωτέρω· πάλιν δὲ εἰς τὴν εὐώνυμον κλίσιν· ἐνίοτε δὲ σκολιὰν καὶ διεστραμμένην, καὶ παραπλησίαν ταῖς τῶν δένδρων ῥίζαις. οὗτοι μὲν οὖν λύχνους προσδεδεμένους τοῖς μετώποις ἔχοντες, λατομοῦσιν, ἀκολουθοῦντες τῇ φλεβὶ, τῇ λευκανθίζοντι. καὶ πολλαχῶς καταχηματίσαντες τῶν σωμάτων τὰς θέσεις, καταβάλλουσι τὰ θραύματα εἰς ἔδαφος, οὐ πρὸς τὴν ἰδίαν ἕξιν τε καὶ δύναμιν, ἀλλὰ πρὸς ὀφθαλμὸν ἐπιστάτου, πληγῆς τὴν ἐπιτίμησιν οὐδέποτε χωρίζοντος. οἱ δὲ ἄνηβοι παῖδες εἰς τοὺς ὑπὸ τούτων ὀρυχθέντας ὑπονόμους εἰσδυόμενοι, καὶ τὴν χάλικα τῶν ῥιπτουμένων ἐπιπόνως συλλέγοντες, ἐκτὸς τοῦ στομίου κομίζουσι. παρὰ δὲ τούτων οἵ τε πρεσβύτεροι καὶ τῶν ἀσθενῶν οἱ πολλοὶ τὸν λίθον μεταφέρουσι, μετακομίζουσι δὲ οὗτοι τοῖς καλουμένοις ἐποπτεῦσιν· οἱ γὰρ ἐντὸς τῶν τριάκοντα ἐτῶν καὶ τοῖς εἴδεσι καρτεροὶ, ὅλμους λιθίνους παρειληφότες ὑπέρῳ σιδηρῷ πτίσσουσιν ἐπιστρεφῶς, καὶ ποιήσαντες τὸ μέγιστον τοῦ ὕψους ὀρόβῳ παραπλήσιον, πρὸς τὴν αὐτὴν ὥραν ἀπομετροῦσιν ἑτέροις. ἔστι δὲ ἐπὶ ὁ πόνος τῶν γυναικῶν τῶν εἰς τὰς φυλακὰς συναπηγμένων ἀνδράσιν ἢ γονεῦσιν. μύλοι γὰρ ἑξῆς πλείους βεβήκασιν, ἐφ᾽ οὓς τὸν ἐπτισμένον ἐπιβάλλουσι λίθον· καὶ παραστᾶσαι τρεῖς ἑκατέρωθεν πρὸς τὴν μίαν κώπην, οὕτως ἐζωσμέναι δυσπροσόπτως, ὥστε μόνην τὴν αἰσχύνην τοῦ σώματος κρύπτειν, ἀλήθουσιν. ἀλήθουσι δὲ ἕως ὑπὸ τὸν τῆς σεμιδάλεως τόπον ἀχθῇ τὸ παραδοθὲν μέτρον. οὗτοι πάντες οἱ τὸν εἰρημένον τῆς τύχης κλῆρον ὑπελθόντες, ποθεινότερον ἔχουσι τοῦ βίου τὸν θάνατον. παρὰ δὲ τοῦ θήλεος γύοις

διαδέχονται μὲν τὸ κατειργασμένον οἱ καλούμενοι σηλαγγεῖς, εἰσὶ δ᾽ οὗτοι, τεχνῖται πρὸς τὸ πέρας ἄγειν δυνάμενοι τὴν βασιλικὴν χρείαν. ἡ δὲ ἐργασία, τοιαύτη· καταβάλλουσι τὴν ἀληλεσμένην μάρμαρον ἐπὶ σανίδος πλατείας μὲν καὶ κατεξυσμένης εἰς λειότητα, οὐκ ἐν ὀρθῇ δὲ χώρᾳ βεβηκυίας, ἀλλὰ μικρὰν ἐχούσης ἐπίκλισιν. εἶτα καταχέοντες ὕδωρ, τρίβουσι ταῖς χερσί, τὰ πρῶτα μὲν κούφως, ἔπειτα δὲ μᾶλλον. ὅθεν, οἶμαι, τὸ μὲν γεῶδες ἐκτηκόμενον συναπορρεῖ κατὰ τὴν ἐπίνοιαν τοῦ σανιδώματος· τὸ δ᾽ ἰσχῦον καὶ δυνατὸν ἐπὶ τοῦ ξύλου μένει ἀκίνητον. πολλάκις δὲ τοῖς ὕδασιν ἀποπλύνας ὁ καλούμενος σηλαγγεὺς, μεταλαμβάνει σπόγγοις μαλακοῖς καὶ πυκνοῖς. οἷς ἐφαπτόμενος τῆς μαρμάρου κούφως, καὶ θλίβων ἐπὶ ποσὸν, τὸ μὲν ἐλαφρὸν καὶ χαῦνον ἐμπλεκόμενον τοῖς ἀραιώμασιν ἀπὸ τῆς σπόγγου διαφέρει καὶ ἐκρίπτει, τὸ δὲ ἐμβριθὲς καὶ στίλβον ἐπὶ τῆς σανίδος ἀποκεκρυμμένον ἀπολείπει, δυσκίνητον διὰ βάρος τῆς τοιαύτης φύσεως ὑποκειμένης. οὕτως οὖν ἔσχατος ὁ σηλαγγεὺς παρακαθάρας τὰ ψήγματα τοῦ χρυσοῦ παραδίδωσι τοῖς ἑψηταῖς. οἱ δὲ, λαβόντες μέτρῳ τε καὶ σταθμῷ τὸ συνηγμένον εἰς ἄγγος κεραμεοῦν ἐνέβαλον, καὶ μίξαντες κατὰ λόγον τοῦ πλήθους μολίβδου βῶλον, καὶ χόνδρους ἁλῶν, καὶ κασσιτέρου βραχὺ, καὶ κρίθινον πίτυρον, κἄπειτα ἐπιθέντες ἐπίθεμα καλῶς ἡρμοσμένον, καὶ πάντοθεν χρίσαντες, ἕψουσιν ἐν καμίνῳ πέντε ἡμέρας, καὶ τὰς ἴσας νύκτας, οὐδὲν διαλείποντες. τῇ δ᾽ ἐχομένῃ σύμμετρον τῇ πεπυρωμένῃ προσάγοντες ψῦξιν, εἰς ἀγγεῖον κατέρασαν· ἄλλο μὲν τῶν συνεμβεβλημένων οὐθὲν εὑρίσκοντες, αὐτὸ δὲ τοῦτο χρυσίου τὸ χρῆμα, βραχεῖαν εἰληφὸς ἀπουσίαν ἀπὸ τοῦ ψήγματος. ἡ μὲν οὖν πρὸς τοῖς μετάλλοις ἀπώλεια τῶν πολλῶν σωμάτων πρὸς τὸ ῥηθὲν τέλος κομίζεται τὴν διέξοδον, σχεδὸν αὐτῆς τῆς φύσεως δη-

κνυούσης ὅτι τοῦ χρυσίου συμβέβηκεν ὑπάρχειν καὶ τὴν γένεσιν ἐπίπονον, καὶ τὴν φυλακὴν σφαλερὰν, καὶ τὴν σπουδὴν μεγίστην, καὶ τὴν χρῆσιν, ἡδονῆς καὶ λύπης ἀνὰ μέσον κειμένην· τὴν τ' ἐργασίαν, τρόπον τινὰ τοῦ γένους ἀρχαιοτάτην. εὕρηται μὲν γὰρ ὑπὸ τῶν πρότων τοῦ τόπου βασιλέων, τῶν μετάλλων ἡ φύσις. διέλιπεν δὲ ἐνεργοῦσα, ποτὲ μὲν αἰθιόπων ἐπὶ τὴν αἴγυπτον πλήθους συνελθόντος, καὶ πολλὰ τὰς πόλεις ἔτη φρουρήσαντος (ὑφ' ὧν καὶ τὰ μεμνόνεια συντετελέσθαι φασί) ποτὲ δὲ μήδων καὶ περσῶν ἐπικρατησάντων. εὑρίσκονται δὲ ἔτι καὶ καθ' ἡμᾶς ἐν τοῖς χρυσίοις τοῖς ὑπ' ἐκείνων κατασκευασθεῖσιν λατομίδες μὲν χαλκαῖ, διὰ τὸ μήπω τὴν τοῦ σιδήρου κατ' ἐκεῖνον τὸν χρόνον ἐγνωρίσθαι χρείαν· ὀστᾶ δὲ ἀνθρώπων ἄπιστα τῷ πλήθει, πτωμάτων (ὥσπερ εἰκὸς γίνεσθαι) οὐκ ὀλίγων ἐν τοῖς χαύνοις καὶ πλακώδεσιν ὑπονόμοις γενομένων. τηλικαῦτα δὲ ὀρυγμάτων μεγέθη καὶ διατείνοντα βάθεσιν ἐπικαρσίοις ἐπ' αὐτὴν τὴν θάλατταν.

Ὅτι παρὰ τὴν νότον τῆς αἰγύπτου κλίσιν τέσσαρά ἐστι φῦλα τὰ μέγιστα, τὸ μὲν, τοῖς ποταμοῖς παρεζευγμένον, ὃ σπείρει σήσαμον καὶ κέγχρον· τὸ δὲ, περὶ τὰς λίμνας οἰκοῦν, ὃ τοῦ καλάμου καὶ τῆς ὕλης ἅπτεται τῆς ἁπαλῆς· τὸ δὲ, εἰκῆ πλανώμενον, σαρκὶ καὶ γάλακτι παραπέμπον τὸν βίον· τὸ δὲ ἐκ τῆς παραλίας ὁρμώμενον, τοὺς ἰχθύας ἀγρεῦον. τοῦτο δὲ τὸ γένος ἔχει μὲν οὔτε πόλεις, οὔτε χώρας, οὔτ' ἄλλης ἐντέχνου κατασκευῆς ὑπογραφὴν οὐδεμίαν· ἔστι δὲ τῶν ὑπολοίπων, ὡς ἔνιοί φασι, μέγιστον. ἀπὸ γὰρ αὐταίων οἳ τὸν ἔσχατον μυχὸν κατοικοῦσιν, ὃν τῇ μεγάλῃ συμβέβηκε συγκλείεσθαι θαλάττῃ, μέχρι τῆς ἰνδικῆς καὶ κεδρωσίας, ἔτι δὲ γερμανίας καὶ περσῶν, καὶ τῶν τοῖς εἰρημένοις γένεσιν ὑποκειμένων νήσων, ἰχθυοφάγοι πάντῃ κατοικοῦσι, γυμνοὶ μὲν ὄντες αὐτοὶ, γυμνὰς δὲ ἔχοντες τὰς γυναῖκας, κοινὴν δὲ τέκνων γένεσιν· ἔτι δὲ ἡδονῆς μὲν καὶ

πόνου φυσικὴν ἔχοντες γνῶσιν, αἰσχρῶν δὲ καὶ καλῶν οὐδὲ τὴν ἐλαχίστην εἰσστερόμενοι ἔννοιαν. τούτοις δὲ τὰ μὲν ἀγχιβαθῆ πάντ' ἐστὶν πρὸς τὸν βίον ἀλλότρια, παραπλησίως δὲ τὰ παρακείμενα μακρᾶς νήσοιν. θήραι γὰρ οὔτε ἰχθύος, οὔτ' ἄλλοι γένους ὁμοιοπαθοῖς ἀδροτέραν παραδίδωσιν ἡ τοιάδε χέρσος. αἱ δὲ οἰκήσεις πᾶσιν ἔκκειται τοῖς εἰρημένοις παρὰ τὰς ῥαχίας. αἳ καὶ κοιλάδας βαθείας ἔχουσι καὶ φάραγγας ἀνωμάλους, καὶ στενοὺς αὐλῶνας, καὶ σκολιὰς ἐκτροπάς. ὧν πρὸς τὴν χρείαν ὑποκειμένων οἰκείως, ἀναθέμενοι πέτραις αὐτοπαγεῖς ἐπὶ τῆς κοιλίας οἱονεί τινας ἀραιούς· ὅταν οὖν ἐκ πελάγους ἡ πλημμυρὶς ἐπὶ τὴν χέρσον φέροιτο (ὃ ποιεῖ δὶς ἑκάστης ἡμέρας, περὶ ὥραν ἐνάτην τε καὶ τρίτην) ἡ μὲν θάλαττα πᾶσαν τὴν ῥαχίαν ἐπικαλύπτει, συναπάγουσα ἐκ τοῦ πόρου πρὸς τὴν ἤιονα βίᾳ καὶ τῶν ἰχθύων οὐκ ὀλίγους, οἳ τέως μὲν ἐν τῇ παραλίᾳ μένουσιν, νομῆς χάριν πλανώμενοι περὶ τὰς ὑποδύσεις· ἐπὰν δὲ αὖθις ἀναδύῃ τὸ τῆς ἀμπώτεως, τὸ μὲν ὑγρὸν διὰ τῶν λίθων καὶ τῶν φαράγγων ἀπορρεῖ εἰς τὸν ἐπιφερῆ καὶ κατεπείγοντα τόπον· οἱ δὲ ἰχθύες ἐν τοῖς κοιλώμασιν ὑπολειπόμενοι, ἕτοιμον θήραμα καὶ τροφὴ γίνονται τοῖς ἰχθυοφάγοις. ἀλλ' οἱ μὲν ἄλλοι ἰχθύες, ὡς ἔφημεν, ἀπετῶς καταγωνίζονται· ἐπὰν δὲ πέσωσι κύνες τε καὶ φῶκαι μείζους καὶ σκορπίοι, σμύραιναί τε καὶ πᾶν τὸ τοιοῦτον γένος, μετὰ κινδύνων ἡ συμπλοκὴ γίνεται. ὅταν δὲ θηρεύσωσιν ὅσους δήποτοῦν, μετενέγκαντες ἐπὶ τὰς πέτρας τὰς κειμένας πρὸς μεσημβρίαν οὔσας διαπύρους, ταύταις δὲ ἐπέρριψαν· χρόνον δὲ οὐ πολὺν ἐάσαντες, στρέφουσιν ἐπὶ τοὔμπαλιν ἅπαντες. εἶθ' ὅταν λάβωνται τῆς οὐρᾶς, καὶ τὸν ὅλον ὄγκον σείσωσιν, ἐκ ταύτης ὁ μὲν σαρκώδης τόπος ἅπας ἐκπίπτει, θρυπτόμενος διὰ τὴν εἰρημένην θερμασίαν· τὴν δὲ ἄκανθαν σωρεύουσιν αὐτοί.

ἀφ᾽ ἧς ἐκ πλείονος τόπου κολωνοὶ παμμεγέθεις ὁρῶνται. τὴν δὲ σάρκα τῶν ἰχθύων εἰς λεωπέτρας συναγαγόντες, πατοῦσιν ἐκτενῶς ἐπὶ χρόνον οὐκ ὀλίγον, καὶ μίξαντες τὸν σπόρον τοῦ παλιούρου. τούτου γὰρ συμμιγέντος κολλῶσιν, εἰς μὲν τὸ πᾶν πολὺ μᾶλλον γίνεται, δοκεῖ δ᾽ οὖν ἡδύσματος ἢ παρεμπλοκῆς τάξιν ἔχειν· ἐπὰν δὲ ἱκανὸν χρόνον τοῖς ποσὶ δεψήσωσι, πλινθίδας παραμήκεις ποιήσαντες, πάλιν εἰς τὸν ἥλιον τιθέασιν· ὧν ξηρασίαν λαβουσῶν, καθίσαντες εὐωχοῦνται πάντες, οὐ πρὸς μέτρον καὶ σταθμὸν, ἀλλὰ πρὸς τὴν ἑκάστου βούλησιν καὶ χάριν.

Ὅτι πρὸς τοὺς αἰφνιδίους χειμῶνας, οἳ τὴν ἀπὸ τῶν ἰχθύων αὐτοὺς θήραν ἀφαιροῦνται, τοιόνδε τι μηχανῶνται. πλανώμενοι παρὰ πᾶσαν τὴν πλησίον παραλίαν, κόγχους συνάγουσι (μέγιστοι δὲ τυγχάνουσιν, ὥστε τοῖς μὴ ἰδοῦσιν, ἄπιστον αὐτοῖς τοῦ μεγέθους τὴν ὑπερβολὴν εἶναι) ὧν τὸ κρέας ὠμὸν, τῆς ἐνδείας ἀναπλήρωσιν κατ᾽ ἐκεῖνο καιροῦ ἔχουσιν. τῆς δὲ χρείας τῆς ἀπὸ τῶν ἰχθύων ἔπι τούτοις παραμενούσης, τοὺς εἰρημένους κόγχους συλλέγουσιν· καὶ τούτοις φύκει τε προσφάτῳ καὶ ἰχθύων τῶν ἐλασσόνων κεφαλαῖς ἐν ὀρύγμασι καταθέντες, διατρέφουσιν· τῆς δὲ ἐνδείας αὐτοὺς καταχούσης, ταῦτα, ὡς εἴρηται, ποιοῦνται σίτησιν. εἰ δέ ποτε ἑκατέρα αὐτοὺς σίτησις ἐπιλείψει, ἀπὸ παντὸς τοῦ ἀκανθῶν σωροῦ τὰς ἐγχύμους αὐτῶν καὶ προσφάτους ἐπιλέγοντες ἀφαιροῦσι κατ᾽ ἄρθρον. κἄπειτα τὰς μὲν κόπτοντες ἐπὶ πετρώδους τόπου, τὰς δὲ κατεργαζόμενοι διὰ τῶν ὀδόντων, τοῖς φωλεύουσι τῶν θηρίων τὴν αὐτὴν διάθεσιν λαμβάνουσι. ποτῷ δὲ πολὺ θαυμασιωτέρῳ χρῶνται. ἐπὶ μὲν γὰρ τέτταρας ἡμέρας πρὸς ταῖς θήραις γίνονται, καὶ πρὸς ᾠδαῖς ἀνάρθροις καὶ πρὸς ταῖς συνουσίαις ταῖς παιδιᾶς χάριν γινομέναις, ὑπ᾽ οὐδενὸς περισπώμενοι, διὰ τὴν εὐκοπίαν τῆς

τροφῆς.

τροφῆς. τῆς δὲ πέμπτης ἐπιβαλούσης, ἐξορμῶσιν εἰς τὴν ὑπώρειαν, ποτοῦ χάριν, εἰς τὰς συῤῥύσεις τῶν νομάδων, πρὸς αἷς καὶ τὰ κτήνη ποτίζουσιν. ἑσπέριος δὲ ἡ πορεία γίνεται. καταλύσαντες δὲ εἰς τὰς ποτίστρας τῶν νομάδων, τοῦ κοιλώματος κύκλῳ περιέστησαν· εἶτ' ἀπερεισάμενοι τὰς χεῖρας εἰς τὴν γῆν, καὶ θέντες τὰ γόνατα, βοηδὸν πίνουσιν, οὐ πρὸς μίαν ἀναπνοῆς ὁρμὴν, ἀλλὰ πολλάκις αὑτοὺς ἀναπαύοντες. πληρώσαντες δὲ τὰς κοιλίας τῶν ὑγρῶν, καθάπερ ἀγγεῖα, πρὸς θάλατταν μόλις ἀποχωροῦσιν. εἶτα ἐπανελθόντες, ἐκείνην μὲν τὴν ἡμέραν ἕκαστος οὔτε ἰχθύος οὔτε ἄλλου τινὸς γεύεται, κεῖται δὲ ὑπεργέμων καὶ δύσπνοις· ὥστε εἶναι ὅμοιον τινὰ τῷ μεθύοντι παραπλήσιον, τὸ βάρος. ἀπὸ δὲ τῆς ἐχομένης ἐπὶ τὴν εἰρημένην δίαιταν ἐπανάγει. ὃ τοῦτο κύκλῳ διὰ βίου γίνεται, πρὸς ἀσχολίαν καὶ μέριμναν οὐδενὸς ἀποβλεπόντων αὐτῶν πράγματος. καὶ νοσήμασι μὲν διὰ τὴν ἁπλότητα τῆς διαίτης, σπανίοις περιπίπτουσι, τοσούτῳ δ' ἀφαιροῦσιν ἀπὸ τοῦ χρόνου τῶν ἐτῶν, ὅσῳ περ ἀπονωτέραν τῶν λοιπῶν ἔχουσι τὴν ἀναστροφήν. ἀλλ' οἱ μὲν ἐντὸς τῶν στενῶν τὰς οἰκήσεις ἔχοντες ἰχθυοφάγοι, οὕτω καταγίνονται· οἱ δὲ τὴν ἐκτὸς παραλίαν κεκτημένοι, ἄγρας μὲν ἐνδελεχῶς τοιαύτης ἀποροῦσιν, ὑγροῦ δὲ ἁπλῶς οὐ δέονται. προσενεγκάμενοι δὲ τὸν ἰχθὺν ἔγχυλον, ὥστε μικρὰν εἶναι τῶν ὠμῶν τὴν παραλλαγὴν, οὐχ ὅτι ποτὸν ἐπιζητοῦσιν, ἀλλ' οὐδὲ ἔννοιαν ἔχουσι τοῦ γένους. φέρουσι δὲ ἀλύπως ἅπερ αὐτοῖς ἀπ' ἀρχῆς ἡ τύχη παραδέδωκεν.

Ὅτι τοὺς ἐν τοῖς εἰρημένοις τόποις οἰκοῦντάς φησι, πρὸς τοῖς εἰρημένοις, ἔτι μηδὲ πρὸς τὰ μέγιστα τῶν παρ' ἡμῖν δεινῶν ὁμοίαν ἡμῖν ἔχειν τὴν ἔννοιαν. οὔτε γὰρ σίδηρον κατ' αὐτῶν ἐπαιρόμενον φεύγειν, οὔτε προπηλακισμῷ ἐρεθίζεσθαι, οὔτε τοὺς μὴ πάσχοντας τοῖς πάσχουσι συναγανακτεῖν, ἀλλ' εἴ τι

γένοιτο περὶ αὐτοὺς ἐξ ἀλλοφύλων τοιοῦτον, βλέπουσι μὲν οὗτοι ἀτενῶς εἰς τὸ γινόμενον, καὶ τὰς κεφαλὰς πυκνὰ διανεύουσιν, τῶν δὲ εἰθισμένων ἀνθρώπῳ πρὸς ἄνθρωπον οὐδὲ τὴν ἐλαχίστην διδόασιν ἔννοιαν. ὅθεν, φησὶν ὁ συγγραφεύς, ἔγωγε νομίζω μηδὲ χαρακτῆρα εὔγνωστον ἔχειν αὐτοὺς, ἐθισμῷ δὲ καὶ νεύματι ἤχοις τε καὶ μιμητικῇ δηλώσει διοικεῖν πάντα τὰ πρὸς τὸν βίον.

Περὶ τῶν ἀδίψων ἰχθυοφάγων καὶ τῶν φωκῶν ξένον.

Ὅτι, φησὶ, πλησίον τῶν ἀδίψων ἰχθυοφάγων οἱ κατοικοῦντες, ὥσπερ ἀπαραβάτων σπονδῶν μεταξὺ τεθεισῶν αὐτῶν τε καὶ τῶν φωκῶν, οὔτε αὐτοὶ τὰς φώκας σίνονται, οὐδ' ὑπ' ἐκείνων οὗτοι βλάπτονται· ἀλλὰ καὶ ἀλλήλων θήρας ἀνεπιβουλεύτους τὸ θηρεύσαντι ἑκάτερον γένος συντηρεῖ· καὶ συναναστρέφονται οὕτως ἀλλήλοις, ὡς μόλις ἂν εὑρεθεῖεν πρὸς ἀνθρώπους συμβιοῦντες ἄνθρωποι.

Ὅτι τῶν ἰχθυοφάγων, φησὶν, οἱ μὲν σκηνώμασι τοῖς σπηλαίοις, οὐ τετραμμένοις πρὸς μεσημβρίαν, διὰ τὸ πνιγῶδες, ἀλλὰ τοῖς ἀπεστραμμένοις αὐτὴν, χρῶνται· οἱ δὲ ὑπὸ τῶν τῶν ἰχθύων πλευραῖς, φυκία ἐπιβάλλοντες αὐτοῖς· οἱ δὲ, τὰς τῶν ἐλαιῶν κορυφὰς ἀλλήλαις συνάπτοντες, εἶτα χρῶνται σκηνώμασιν. τὴν δὲ τοιαύτην ἐλαίαν καρπὸν φέρειν φησὶ κασταναϊκῷ καρύῳ προσεμφερῆ. τὸ δὲ τέταρτον τῶν ἰχθυοφάγων γένος τὴν οἴκησιν ἔχει τοιαύτην· ἄμμου φόρτος ἄπλετος ἐκ τοῦ παντὸς αἰῶνος ὄρει παραπλήσιος σεσώρευται, καὶ ταῖς ὥραις ὑπὸ τοῦ προσβάλλοντος ἀεὶ κύματος σκληρῶς πεπιλημένος, ὥστε ὁμογενοῦς ὄγκου καὶ μίαν φύσιν ἔχοντας, διὰ τὴν μίξιν καὶ συμπλοκὴν τῆς ἄμμου, μηδὲν παραλλάσσειν. εἶτα ὑπονόμους αὐτοῖς ἀνδρομήκεις ὀρύττουσι, τὸν μὲν κατὰ κορυφὴν ὄγκον ἐῶντες ὠχυρῶσθαι καὶ στέ-

γῆν διὰ τῆς εἰρημένης συνθέσεως, ἐκ δὲ τοῦ κάτωθεν ἐδάφους παραμήκεις αὐλῶνας κατασκευαζόμενοι, πρὸς ἀλλήλους πάντοθεν συντετρημένους, ἐν οἷς τέως μὲν τινος τὰ πρὸς τὸν ἄνεμον φωτίσαντες, ἄγουσιν ἡσυχίαν· ἐπὰν δὲ πλημμυρεὶς ἐπέλθῃ, τὰ πρὸς τὴν ἀρχὴν, ὡς καὶ προείρηται, παρασκευάζονται. τοὺς μέντοιγε τελευτῶντας αὐτῶν οὐδεμιᾶς ἀξιοῦσι προνοίας, ἀπαθῆ πρὸς τὸν ἐκ δόξης ἔλεον κεκτημένοι τὴν γνώμην. διὸ καὶ κεῖσθαι ἐρριμμένους ἐῶσιν, ἕως ἂν ἄμπωτις ἐπιγενομένη τροφὴν εἰς τὴν θάλασσαν κομίσῃ τούτους τοῖς ἰχθύσιν. Ὅτι φησὶν ἐνίοις τῶν ἀπὸ τῆς θαλάττης σιτουμένων, μετὰ τῶν ἄλλων, καὶ τοῦτο ἔχειν παραδοξότερον, καὶ εἰς λογικὴν καταχωρῆσαι πίστιν οὐ ῥᾴδιον. οὔτε γὰρ πόθεν εἰς τὸν χῶρον ἐν ᾧ οἰκοῦσιν, ἀφίκοντο, ἔστιν ἐπιγνῶναι· οὔτε ὅπως λισσῆς μὲν πέτρας ἄνωθεν ἐπεζευγμένης, ἐκ πλαγίου δὲ κρημνῶν ἀφαιρουμένων τὰς παρόδους, τὴν δὲ ἀπέναντι πᾶσαν ὁρίζοντος· ὃ καὶ πεζῇ μὲν ἐλθεῖν παντελῶς, ὡς εἶπον, ἀδύνατον, σχεδίαις δὲ ὁμοίως, ἀπορίᾳ τῶν παρ' ἡμῖν, ἐξ ἴσου ἄπορον. τούτων δὲ ὑφεστώτων, φησὶ, λοιπὸν εἰπεῖν ὡς αὐθιγενεῖς εἰσι, λύμην τοῦ πρώτου σπέρματος οὐ λαβόντες, ἀεὶ δὲ ὑπάρχοντες, ὃν τρόπον ἔνιοι τῶν καλουμένων ὠρίσαντο φυσικῶν. Ὅτι τῶν στενῶν ἐπέκεινα, φησὶ, τῶν συγκλειόντων τὴν Ἀραβίαν καὶ τὴν ἀπέναντι χώραν, νῆσοι κεῖνται σποράδες, ταπειναὶ πᾶσαι, μικραὶ τῷ μεγέθει, τὸ πλῆθος ἀμύθητοι, καρπὸν οὐδένα γεννῶσαι πρὸς τὸν βίον, οὔτε ἥμερον, οὔτε ἄγριον· ἀπέχουσαι μὲν τῆς εἰρημένης ἠπείρου σταδίους ὡς ἑβδομήκοντα, τετραμμέναι δὲ πρὸς τὸ δοκοῦν πέλαγος παρεκτείνειν τὴν ἰνδικὴν καὶ γεδρωσίαν. ἐνταῦθα κῦμα μὲν οὐ γίνεται, ἀλλὰ ἄλλη μὲν ἄλλης περικαθημένη τὸν κλύδωνα ταῖς ἀκρωτηρίοις

λαμβάνει. ἀέρων δὲ τὸν ἄριστον δοκοῦσιν ἔχειν. ταύταις ἄνθρωποι κατανέμονται ἀριθμουμένοις σύμμετροι, ζῶντες δὲ βίον τοιοῦτον· ἐν τῷ παρήκοντι πελάγει τραχεῖ καὶ χειμερίῳ ὑπάρχοντι τελέως, γίνεται τῷ πλάτει καὶ τῷ μεγέθει πλῆθος ἄπιστον χελωνῶν, ἃς θαλαττίας πάντες νομίζομεν. αὗται νυκτὸς μὲν ἐν τῷ βυθῷ νέμονται, ἡμέρας δὲ εἰς τὴν ἐν ταῖς νήσοις ἡσυχίαν καὶ γαλήνην ἀφικόμεναι κοιμῶνται, καὶ τοῦτο ποιοῦσι πρὸς τὸν ἥλιον μετέωροι, ταῖς κατεσκευασμέναις πορθμίσιν ὁμοιοπαθεῖς. ταύτας κατ' ἐκεῖνο καιροῦ οἱ ἐπιχώριοι τέχνῃ καὶ σπουδῇ καὶ μερμίθαις εἰς τὴν χέρσον ἐκβαλόντες, τὰ μὲν ἐντὸς ἅπαντα σιτοῦνται, βραχὺν παροπτήσαντες ἐν τῷ καύματι χρόνον· τοῖς δὲ κύτεσι χρῶνται τὰς σκηνώσεις καθιστῶντες, οἱονεὶ καλύβας ἐφ' ὑψηλοῖς τόποις σκηνὰς καθιστάντες. καὶ πρὸς τοὺς διάπλους δὲ καὶ ὑδρείας ἕνεκα κέχρηνται αὐτοῖς· ὥστε εἶναι τὸ αὐτὸ ναῦν, οἰκίαν, ἀγγεῖον, τροφὴν τοῖς εἰρημένοις ἀνθρώποις.

Ὅτι οὐ πολὺ διεστῶτες τοῦ εἰρημένου γένους, σύμμετροι τῷ ἀριθμῷ βίον ἔχουσι τοιοῦτον. ἐκ τῶν ἐκριπτουμένων εἰς τὴν χέρσον κητῶν ἀποζῶσιν· σπανιζούσης δὲ αὐτοῖς τῆς τοιαύτης σιτήσεως (γίνεται δὲ πολλάκις) ἐκ τῶν ὀστῶν τούς τε χόνδρους καὶ τὰ ἄκρα τῶν πλευρῶν κατεργαζόμενοι, τὴν ἔνδειαν, εἰ καὶ χαλεπῶς, ὅμως παραμυθοῦνται. τὰ μὲν οὖν τῶν ἰχθυοφάγων γένη, φησίν, ἃ κατειλήφαμεν (μυρίων ὄντων ἃ τὴν ἡμῶν διέφυγε γνῶσιν) τοσαῦτα. Ὅτι τῆς ζωῆς ἡμῶν ἡμῖν ἐφεστώσης ἔν τε τοῖς περιττοῖς καὶ τοῖς ἀναγκαίοις, τὰ εἰρημένα γένη τῶν ἰχθυοφάγων, τὰ μὲν ἄχρηστα περιγέγραφεν ἅπαντα, φησί· τῶν δὲ καθηκόντων οὐδὲν ἐλλείπουσιν, τῇ θείᾳ πρὸς τὸ ζῆν ὁδῷ βραβευόμενοι πάντες, οὐ τῇ παρασοφιζομένῃ ταῖς δόξαις τὴν φύσιν. οὐ γὰρ ἀρχῆς ἱμειρόμενοι, τύχης ἀγωνίᾳ φιλονείκῳ καὶ δυστυχεῖ

συνέχονται· οὐδὲ πλεονεξίας ἐρῶντες, πολλὰ μὲν ἄλλοις δρῶσιν, πολλὰ δὲ πάσχουσι τὴν οὐκ ἀναγκαίαν· οὐδ᾽ ἔχθρας ἐνιστάμενοι μείζους ἐπὶ βλάβῃ σώματος πολεμίου. οὐ σφάλλονται δὲ ἐν ἀτυχίαις οἰκείων, οὐδὲ ναυτιλλόμενοι, κέρδους ἕνεκα τὸ ζῆν ὑπερτείναντες, προσπταίσμασι τοῦ βίου μετροῦσι τὴν λύπην· ἀλλὰ μικρῶν δεόμενοι, μικρὰ καὶ πενθοῦσι· τὸ μὲν ἀρκοῦν κτώμενοι, τὸ δὲ πλέον οὐ ζητοῦντες. ἐνοχλεῖ δ᾽ ἕκαστον οὐ τὸ ἀγνοούμενον εἰ μὴ πάρεστιν, ἀλλὰ τὸ βουλητὸν, ὅταν ὑστερίζῃ τοῦ καιροῦ τῆς ἐπιθυμίας σπευδούσης. οὐκοῦν ἐκεῖνος πάντ᾽ ἔχων ἃ θέλει, εὐτυχήσει κατὰ τὸν τῆς φύσεως λογισμὸν, οὐ κατὰ τὸν τῆς δόξης. νόμοις δὲ οὐ δικαιοῦνται. τί γὰρ δεῖ προστάγματι δουλεύειν τὸν χωρὶς γράμματος εὐγνωμονεῖν δυνάμενον; Ὅτι μετὰ τοὺς ἰχθυοφάγους, παρὰ τὸν ἀσταβόραν ποταμὸν, ὃς φέρεται μὲν διὰ τῆς αἰθιοπίας καὶ τῆς λιβύης, ἔστι δὲ τοῦ νείλου πολλῷ στενότερος, συμβάλλων δὲ τὴν οἰκείαν ὁρμὴν τῷ μείζονι ῥείθρῳ, νῆσον ποιεῖ τῇ περιρρύσει τὴν μερόην· παρὰ γοῦν τὸν εἰρημένον ποταμὸν ἐπ᾽ ἀμφοτέροις κατοικεῖ τοῖς χείλεσιν ὄχλος, οὐ πολὺς μὲν, τῷ δὲ βίῳ τοιοῦτος. ἐκ τοῦ παρήκοντος ἕλους τὰς ῥίζας τῶν καλάμων ὀρύττει, κἄπειτα πλύνας καθαρὰς, ἐκκόπτει λίθοις πρὸς μέρος. ποιήσας δὲ λεῖον καὶ κολλῶδες, ἀνέπλασεν ἐκ μαζίδος εἰ καὶ οὐ χειροπληθεῖς ὄγκους· εἶτα ἐν τῷ καύματι παροπτῶν, ταύτην ἔχει προσφοράν. ἔχουσι δὲ οὗτοι κακὸν ἄφυκτον, τοὺς ἐν τοῖς ἕλεσι λέοντας, ἐπιτιθεμένους αὐτοῖς. ὑπὸ δὲ τὴν ἐπιτολὴν τοῦ κυνὸς γίνεταί τι κωνώπων πλῆθος ἄπλετον, τηλικαύτην ἔχον δύναμιν ὥστε τὸν λαὸν εἰς τὰς λιμνώδεις ὑγρασίας ἀπελθόντα, ἐκεῖ μένειν ἀφανῆ. ὑφ᾽ ὧν καὶ οἱ λέοντες ἐκπτίζονται· οὐχ οὕτως ὑπὸ τοῦ δηγμοῦ δηλούμενοι, καίπερ ὄντος ἐπαχθοῦς, ὡς τὴν ἀπὸ τῆς φωνῆς ἦχον ἀλλόφυλον

d iij.

ἀδυνατοῦντες φέρειν. ἀλλὰ ταῦτα μὲν ἀπηγγέλθω τοῦ παραδόξου χάριν. τί γὰρ ἰδιώτερον ἢ λέοντας μὲν ἐκχωρεῖν κώνωψιν, ἀνθρώπους δὲ σώζεσθαι ὑπὸ τοιούτου κινδύνου;

Ὅτι τοῖς εἰρημένοις, φησί, τῶν ὑλοφάγων, καὶ τῶν τὰ σπέρματα σιτουμένων ἐγγίζει γένος βραχεῖαν ἔχον τὴν παραλλαγήν. οἱ μὲν γάρ, τὸν πίπτοντα καρπὸν ἀπὸ τῶν δένδρων σιτοῦνται, καὶ ὑπὸ τὴν θερείαν· τὸ δὲ λοιπόν, τῆς πόας ἅπτονται τῆς ἐν τοῖς σκιεροῖς ἄγκεσι γινομένης, στερεᾶς τε τὴν φύσιν, καὶ καυλὸν ἐκτρεφούσης παρόμοιον ταῖς καλουμέναις βουνιάσιν· οἱ δέ, τῆς ὕλης τὴν ἁπαλὴν σιτοῦνται. οὗτοι τὰς μὲν νύκτας κοιμῶνται, τόπον ἀπὸ τῶν ἐκεῖ θηρίων πρὸς ὀχύρωσιν ἐξειλεγμένοι καὶ φυλακήν, ἅμα δὲ ἡλίῳ μετὰ τέκνων καὶ γυναικῶν ἐπὶ τὰ δένδρα πάντες ἀναβαίνουσι, σπουδῇ καταλαβεῖν ζητοῦντες τοὺς ἄκρους κλῶνας. κἀκεῖθεν τὴν ἀπαλωτάτην ὕλην ἀμέλγοντες ἀμαρὰς σιτοῦνται. τοιαύτην δὲ ἐκ τοῦ παντὸς βίου πεποίηνται τὴν ἕξιν, ὥστε καὶ τὰ τῆς ἀναδρομῆς ἄπιστον ἔχειν τὴν θέαν, καὶ τὴν συντονίαν οὐ χειρῶν μόνον καὶ δακτύλων καὶ ποδῶν, ἀλλὰ καὶ τῶν μερῶν τῶν ὑπολοίπων ἁπλῶς. μεταπηδῶσι γὰρ ἀπόρως ἀπ' ἄλλου πρὸς ἕτερον ἀκρέμονα. καὶ τοὺς κλάδους ἀλλήλων πολλάκις ἐν τοῖς ἐπισφαλεστάτοις τόποις ἀφαιροῦνται. καὶ τοιαῦτα ἐνδείκνυνται, ὥστε τὸν ἰδόντα, αὐτὸν μὲν ἐκπλήττεσθαι, μὴ μέντοι θαρρεῖν εἰς τοὺς ἀπείρους ἐξαγγέλλειν. καὶ πάντα δὲ κλάδον τοῖς ὀδοῦσιν ἔγχυλον κατεργάζονται, καὶ ταῖς κοιλίαις ἀπόρως πέττουσιν, καὶ τὸ σφαλὲν ἄνωθεν σῶμα, διὰ τὴν ἰσχνότητα, οὐ βαρείας τυγχάνει τῆς πληγῆς. οὗτοι δὲ γυμνοὶ μέν εἰσι πάντες, χρῶνται δὲ κοινοῖς τε τέκνοις καὶ γυναιξίν. πολεμοῦσι δὲ περὶ τῶν τόπων ἀλλήλοις. μεταλλάττουσι δὲ οἱ πλεῖστοι λιμῷ πιεζόμενοι, γλαυκωμάτων περὶ τὰ ν' ἔτη τοῖς ὄμμασιν ἐπιτρεχόντων.

Περὶ τῶν λεγομένων κυνηγετῶν.

Ὅτι μετὰ τοὺς εἰρημένους εἰσὶν οἱ παρὰ τοῖς ἐγχωρίοις λεγόμενοι κυνηγέται· οὗτοι διὰ τὴν τῶν θηρίων φορὰν, ἣν ὁ τόπος ἄπλετον φέρει, ἐν τοῖς δένδρεσι μὲν σκηνοῦσιν, ἐξ ἐνέδρας δὲ ἀγρεύοντες τὰ θηρία, τροφὴν ἑαυτοῖς ταῦτα ποιοῦνται. εἰσὶ καὶ τοξείας ἐπιστήμονες. ἐπὰν δὲ θήρας ἀπορῶσιν, τοῖς δέρμασι τῶν προτεθηραμένων τὴν ἔνδειαν ἀναπληροῦσιν, βρέξαντες τὰς βύρσας καὶ ἐπ' ἀνθρακιὰν κούφην ἐπιβαλόντες, εἶτα ἀποδίσαντες καὶ εἰς διαίρεσιν ἀγαγόντες.

Περὶ τῶν ἐλεφαντοφάγων.

Ὅτι μετὰ τοὺς εἰρημένους, πολὺ τούτων ἀφεστῶτες καὶ πρὸς ἑσπέραν μᾶλλον ἀνατείνοντες εἰσὶν οἱ ἐκ τῆς τῶν ἐλεφάντων θήρας τὸν βίον ποιούμενοι. οἱ μὲν, ἀπὸ δένδρου ἐφ' ᾧ κάθηνται, σκοποῦντες τὰς παρόδους τῶν θηρίων, ταῖς μὲν χερσὶ τῆς οὐρᾶς λαβόμενοι, τοῖς ποσὶ δὲ πρὸς τὸν μηρὸν τὸν ἀριστερὸν ἐπιβαίνουσιν· εἶτα πελέκει, ὃν ἐπιτήδειον καὶ ἕτοιμον ἔχουσι, τὴν δεξιὰν ἰγνύαν, πυκναῖς ταῖς πληγαῖς χρώμενοι, νευροκοποῦσιν. οὕτω δὲ ἐκτενῶς τῇ μὲν καταφέροντες, τῇ δὲ τῆς οὐρᾶς κρατοῦντες, ὡς ἄθλου προκειμένου τῆς ψυχῆς. ἢ γὰρ ἀποκτεῖναι χρὴ ἢ τελευτᾶν, ἄλλην τοῦ καιροῦ διέξοδον οὐκ ἔχοντος. ἐπὰν τὸ ζῶον ἐκ τῆς πληγῆς καὶ τῆς αἱμορραγίας πέσῃ, οἱ συνθηραταὶ παραγίνονται ἐπὶ τὸ πτῶμα, καὶ τοῦ θηρίου ζῶντος ἔτι περιτέμνοντες ἐκ τῶν ὀπισθίων τὰς σάρκας, εὐωχοῦνται. τὸν ἔσχατον τοῦ καταπονηθέντος οὕτως ὑπομένοντος θάνατον. ἀλλ' οἱ μὲν μετὰ τοῦ ἐσχάτου κινδύνου ἐλεφαντοθῆραι, τοιοῦτοι· ἕτεροι δὲ θηρῶσιν αὐτοὺς οὕτως· τρεῖς ἄνδρες ἓν μὲν ἔχοντες τόξον, ὀϊστοὺς δὲ πλείους κεχρισμένους τῇ χολῇ τῶν ὄφεων, ἑστᾶσιν ἐν δρυμῷ παρὰ τὰς τῶν θηρίων διεξόδους. ἐπὰν οὖν προσστάγῃ τὸ ζῶον, ὁ μὲν εἷς κατέχει τὸ

τόξον τῷ ποδὶ προσβεβληκότος· οἱ δὲ δύο, τὴν νευρὰν ἑλκύσαντες ἐκ τῆς ἁπάσης βίας ἀφῆκαν τὸ βέλος, ἕνα σκοπὸν ἔχοντες ἐπὶ μέσην τὴν πλευρὰν ὥστε διανῦσαι τῆς προοχῆς ἐντὸς, καὶ τοὺς κυρτοὺς τεμεῖν καὶ τρῶσαι τόπους. ἐκεῖθεν τὸ τηλικοῦτον θηρίον ἐλαυνόμενόν τε καὶ παρατιόμενον διαλύεται καὶ πίπτει. τρίτον δέ ἐστι γένος ἐλεφαντοφάγων, οἳ, ἐπειδὰν οἱ ἐλέφαντες τῆς νομῆς ἐμφορηθέντες, πρὸς ὕπνον τραπέσθαι ζητῶσιν· (οὐκ ἐπὶ γῆς δὲ ἀναπεσόντες ὑπνοῦσιν, ἀλλὰ τοῖς παχυτάτοις καὶ μεγίστοις δένδρεσι προσανακλίνοντες ἑαυτούς· ὥστε τοὺς μὲν πόδας τοὺς πλησίον τοῦ στελέχους πρὸς γῆν ἐλαφρῶς ὑπερείδεσθαι, τὴν δὲ πλευρὰν τὸ πᾶν σῶμα ἐκδεχομένην, ὀχεῖσθαι πρὸς τῇ φύσει τοῦ ξύλου· καὶ οὕτω τὸν τρόπον τῆς καταφορᾶς τυγχάνειν οὐκ εἰλικρινοῦς, ἀλλὰ παρεψυσμένης, διὰ τὸ προσκεῖσθαι τοῖς βαθέσιν ὕπνοις ἀγωνίαν ἰσχυρὰν, φθορᾶς ὑποκειμένης παραχρῆμα τῷ σφαλέντι, διὰ τὴν ἔκλυσιν τὴν φυσικήν·) οἱ οὖν ἀπὸ τῶν τούτων θήρας τὸν βίον ποιούμενοι, τοῖς δρυμοῖς περιπλανώμενοι, καὶ τὴν τοῦ θηρίου κοίτην ἐπισημηνάμενοι, ἐκ τῶν ὄπισθεν τοῦ δένδρου τόπων πρίουσιν, ἕως ἂν μήτε κλίνῃ τὸ πᾶν, μήτε ἰσχύον ἄγαν καὶ ἰσχυρὸν ἀπολείποιτο· μένει δὲ ἑστηκὸς ἐπὶ βραχείας ῥοπῆς. τὸ δὲ ζῶον ἀπὸ τῆς νομῆς ἐπὶ τὸν συνήθη τῆς κοίτης τόπον ἀνακλινόμενον, αἰφνίδιόν τε πίπτει τοῦ ξύλου κλασθέντος, καὶ πρόκειται τοῖς θηράσασι δεῖπνον ἕτοιμον. τὰς γὰρ ὀπισθίας κόψαντες οὐπισάρκας, καὶ ποιήσαντες ἔξαιμον τὸ ζῶον, εἶτα νεκρὸν, πρὸς τὴν ἑαυτοῦ χρείαν ἕκαστος τὰ μέλη διαιροῦσιν. Ὅτι τοὺς κυνηγοὺς Πτολεμαῖος ὁ Αἰγύπτου βασιλεὺς ἀποσχέσθαι τοῦ φόνου τῶν ἐλεφάντων παραινῶν, ἵν' ἔχοι αὐτὸς ζῶντας, καὶ πολλὰ καὶ θαυμαστὰ αὐτοῖς ὑπισχνούμενος, οὐ μόνον οὐκ ἔπεισεν, ἀλλ' οὐδ' ἂν τὴν ὅλην ἀλλάξασθαι βασιλείαν πρὸς τὸν ἐφεστῶτα βίον, εἰπόντων ἀπόκρισιν ἤκουσεν.

Περὶ αἰθιόπων τῶν σιμῶν, καὶ τῶν στρουθοφάγων.

Οὐ τῶν κυνηγῶν τούτων, οὓς οἱ νομάδες ἀκαθάρτοις καλεῖν εἰώθασι, τὸ μὲν πρὸς ἑσπέραν ἀπόσπασμα, αἰθιόπων νέμεται οὓς καλοῦσι σιμούς· τὰ δὲ πρὸς μεσημβρίαν, οὐ μέγα ἔθνος, οἱ καλούμενοι στρουθοφάγοι, οἳ ταύτας τέχνῃ καὶ δόλῳ καὶ ῥοπάλοις θηρεύοντες, ἐκ τούτων βιοῦσιν· σιτούμενοι μὲν τὰς σάρκας, ἐνδύσει δὲ καὶ στρωμνῇ τοῖς αὐτῶν χρώμενοι δέρμασιν, πολεμούμενοι δὲ ὑπὸ τῶν σιμῶν. οὗτοι τοῖς τῶν ὀρύγων κέρασιν, ὅπλοις χρῶνται, μεγάλοις καὶ τμητικοῖς οὖσιν. φέρει δὲ ἡ χώρα πολυπληθὲς τὸ ζῶον τοῦτο.

Περὶ ἀκριδοφάγων.

Ὅτι τῶν εἰρημένων οὐ πολὺ διεστῶτες εἰσὶν οἱ ἀκριδοφάγοι· τὸ δὲ ἔθνος, βραχύτεροι μὲν τῶν λοιπῶν, ἰσχνοὶ δὲ τοῖς εἴδεσιν, μέλανες δὲ ἐξαισίως. ὑπὸ δὲ τὴν ἐαρινὴν ἰσημερίαν ὅτε λίβες παρ' αὐτοῖς καὶ ζέφυροι πνέουσιν, παμμεγεθῶν ἀκρίδων πλῆθος ἀμύθητον ἐκ τῆς ἀνιστορήτου μετὰ τῶν ἀνέμων παραγίνεται χώρας· τῇ μὲν δυνάμει τῆς πτήσεως, τῶν ὀρνίθων μικρὸν παραλλάττον, μακρὸν δὲ τῷ σώματι. ἀπὸ τούτου τοῦ ζώου τρέφονται πάντα τὸν χρόνον, ἄλλως τε τούτοις καὶ τεταριχευμένοις χρώμενοι. καπνῷ δὲ ταύτας θηρῶσιν, ἐκ τοῦ ἀέρος ἐπὶ γῆν καταφέροντες. οὗτοι κοῦφοι μὲν εἶναι λέγονται καὶ τοῖς ποσὶν ὀξύτεροι, ζῶσι δὲ οὐ πλεῖον τεσσαράκοντα ἐτῶν, ξηρᾶς κοινωνοῦντες τελείως τροφῆς. τελευτῶσι δὲ τὸν βίον ἀθλιώτερον. ἅμα γὰρ πλησιάζειν τὸ γῆρας, ἐγγίνεται τοῖς σώμασιν αὐτῶν πτερωτὰ φθεῖρες, ὅμοια μὲν τῷ τύπῳ τοῖς κρότωσι, βραχεῖ δὲ ἐλάττω τῶν ἐν τοῖς κυσὶ φαινομένων· ἀρχόμενα μὲν ἀπὸ τοῦ στήθους καὶ τῆς κοιλίας, ἐπινεμόμενα δὲ συντόμως μετὰ τοῦ παντὸς προσώπου τὴν ἐπιφάνειαν· οἳ τὰ μὲν πρῶτα τοῖς ὑπὸ ψώρας ἠρεθισμένοις ὁμοίως διάκεινται· ὕστερον δ' ἐπιπόνως ἑαυτοὺς σπαράττουσιν· εἶτα τοῦ πάθους εἰς

ἀκμὴν ἑλκομένου, καὶ μετὰ τῆς τῶν θηρίων ἐκφύσεως καὶ λεπτῶν ἀναχεομένων ἰχώρων, ἀκαρτερήτοις ὑφίστασθαι τοὺς ἀθλίους δριμύτητας συμβαίνει. ὅτι μὲν εἴτε τοὺς χυμούς, εἴτε τὴν τροφὴν, εἴτε τὸν ἀέρα τῆς κακίας ἔχοντες αἴτιον, οὕτως ἀπόλλυνται.

Ὅτι τῶν ἀκριδοφάγων, φησὶν, ἀσυχίτων χώρα πολλὴ καὶ νομὰς ἔχουσα ποικιλίᾳ διαφερούσας. ἔρημος δὲ τελείως καὶ πᾶσι τοῖς περιοίκοις ἄβατος, οὐκ ἀπ' ἀρχῆς σπανίσασα ἀνθρωπίνου γένους, ἀλλ' ὑπὸ πλήθους ἀπίσου σκορπίων καὶ φαλαγγίων, ἃς τετραγνάθους ἐπονομάζουσιν ἔνιοι. τοῦτο γὰρ τὸ φῦλον ἔκ τινος ἐπομβρίας λέγουσιν ἐπιπολάσαι· καὶ τῶν ἐνοικούντων πρὸς τὸ κακὸν ἀντισχεῖν οὐ δυναμένων, ἀλλὰ φυγῇ τῶν ἐκπεσόντων τοῦ ὀλέθρου, τὴν σωτηρίαν ἀπὸ τῆς πατρίδος ἡγουμένων, ἔρημον, ἐξ ἐκείνου, γένους ἀνθρώπων τὴν χώραν ὑπολειφθῆναι. καὶ μυῶν δὲ πλῆθος ἀρουραίων ὡς τοῖς περὶ ἰταλίαν, καὶ στρουθοὶ τὰ σπέρματα κατεσθίοντες, ὡς περὶ μηδίαν, καὶ βάτραχοι, ὃ γέγονεν περὶ τοὺς αὐταριάτας· καὶ ὑπὸ λεόντων ἐπιπολασάντων πόλεις μετανέστησαν, ὡς ἐπὶ λιβύης. καὶ πολλὰ ἄλλα ἀνέλπιστα πάθη καταλαβόντα πολλὰς χώρας τῶν οἰκητόρων ἐξερήμωσεν.

Περὶ κυναμολγῶν, καὶ τρωγλοδυτῶν.

Ὅτι ὕστατοι, φησὶ, τῶν πρὸς μεσημβρίαν οἰκούντων εἰσὶν οὓς ἕλληνες μὲν κυναμολγοὺς καλοῦσιν, οἱ δ' ἀσυχίτονες, ὡς ἄν τις εἴποι, ἀγρίους βαρβάρους. οὗτοι κομῆται μέν εἰσι, καὶ πώγωνας φέρουσιν ἐξαισίους· κύνας δὲ τρέφουσι πολλοὺς καὶ μεγάλους, ὁμοίως τοῖς ὑρκανοῖς· καὶ τοὺς ἐπιφοιτῶντας αὐτῶν τὴν χώραν ἰνδικοὺς βόας δι' αὐτῶν θηρῶσιν, πλῆθος ἐπιφαινομένοις ἀμύθητον, ἀπὸ τροπῶν χειμερινῶν ἕως μέσου χειμῶνος. εἶτα καὶ ταῖς τῶν κυνῶν θηλείαις ἀμέλγοντες, τῷ γάλακτι τρέφονται. καὶ ἐξ ἄλλων δὲ θήρας ζώων. καὶ τὰ μὲν τελευταῖα τῶν πρὸς μεσημβρίαν, τοιαῦτα. τὰ δὲ κατὰ τοὺς βίο

γλοδύτας, τοιαῦτα.

Τὸ μὲν γένος τῆς συστάσεως, τυραννίς· αἱ δὲ γυναῖκες, κοιναὶ, καὶ οἱ παῖδες· μόνῃ δὲ οὐκ ἔξεστι πλησιάσαι τῇ τοῦ τυράννου· τῷ δὲ τολμήσαντι, πρόβατον καταδικασθὲν τὸ ἐπιτίμιον δίδοται. ἡ δὲ ἀναστροφὴ αὐτῶν· τὸν μὲν παρ' αὐτοῖς χειμῶνα (ἔστι δ' οὗτος ὑπὸ τὰς ἐτησίας) πᾶσαν αὐτῶν τοῦ θεοῦ τὴν χώραν ὕδασι λάβροις ἐπέχοντος, ἀφ' αἵματος καὶ γάλακτος ζῶσιν, εἰς ταυτὸν μίξαντες καὶ κυλίσαντες, ἐν ἀγγείοις εἰκῆ πεπυρωμένοις. ἐπὰν δὲ ἐπιστῇ τὸ θέρος, ἐν τοῖς τελματώδεσιν ἀναστρέφονται χωρίοις, μαχόμενοι πρὸς ἀλλήλους περὶ τοῦ χλώματος. καὶ τὰ πρεσβύτερα τῶν βοσκημάτων καὶ νοσοῦντα δαπανῶσι, διὰ τῶν μαγείρων ταῦτα κλείνοντες, οὓς καλοῦσιν ἀκαθάρτους. οὗτοι ἀνθρώπων μὲν οὐδενὶ περιτιθέασι τὴν τῶν γονέων κλῆσιν, ταύρῳ δὲ καὶ βοΐ, τὸν μὲν, πατέρα καλοῦντες, τὴν δὲ, μητέρα· ὡσαύτως κριῷ τε καὶ προβάτῳ· διὰ τὸ λαμβάνειν τὴν τροφὴν τὴν καθ' ἡμέραν οὐ παρὰ τῶν τοκέων, ἀλλὰ παρ' ἐκείνων. οὗτοι καὶ ποτῷ, ὁ μὲν πολὺς ὄχλος, ἀποβρέγματι παλιούρου χρῶνται, οἱ δὲ τύραννοι ἀπό τινος ἄνθους σκευασθέντος πίνουσι, παραπλησίου μοχθηρῷ γλυκεῖ. γυμνοὶ δὲ τὸ ἄλλο σῶμα τυγχάνοντες, τὰ ἰσχία δέρμασίν εἰσι διεζωσμένοι. τὰ δὲ αἰδοῖα τοῖς μὲν ἄλλοις τρωγλοδύταις ἐστὶν εἰθισμένον περιτέμνεσθαι, καθάπερ αἰγυπτίους πάντας· τοὺς δ' ὑπὸ τῶν ἑλλήνων καλουμένους κολοβοὺς, πᾶν τὸ τοῖς λοιποῖς μέρος περιτομῆς τυγχάνον, ξυροῖς ἀφαιρεῖν ἐστὶν ἔθος νηπίων ὄντων. ἐξ οὗ καὶ τὴν εἰρημένην κλῆσιν ἑαυτοῖς πεπίλωται.

Ὅτι κέχρηται ὁ συγγραφεὺς, ἀττικιστὴς καίτοι ὤν, τῇ τῆς καμάρας λέξει. Οὐ οἱ τρωγλοδύται περὶ τοὺς μεταλλαχότας, φησὶν, οὕτω πράττουσι. ταῖς ἐκ τῶν παλιούρων λύγοις τὸν αὐχένα πρὸς τὰ σκέλη συνέδησαν. εἶτα ἐπ' ὄχθον ἐπιθέντες, βάλλουσι χειροπληθέσι λίθοις, τωθασμῷ χρώμενοι

καὶ γέλωτι, ἕως ἀποκρύψωσι τοῦ τετελευτηκότος τὴν μορφήν. κἄπειτα ἄνωθεν ἐπιθέντες κέρας αἰγὸς, ἀπαθεῖς ἀπονοστοῦσι καὶ παντελῶς ἱλαροί. οὕτω, φησὶ, ταῖς κηδείαις καταχρῶνται νουνεχῶς, εἴπερ μὴ λυπεῖν ἑαυτοὺς ἐπὶ τοῖς ἀλυπήτοις, συνέσεως σημεῖον. τὰς δὲ ὑπὲρ τῆς ἀναφερομένης αἰφνιδίας νομῆς ἔχθρας τε καὶ μάχας καὶ πολέμους αὐτῶν πρὸς ἀλλήλους, (οὐδὲ γὰρ ὑπὲρ ἄλλου τινὸς μάχονται) ἐπὴν οὖν ταύτας αἱ πρεσβύτεραι γυναῖκες προπηδῶσαι διαλύουσι, κατὰ τὸ μέσον ἐμπεσοῦσαι, καὶ τοῖς πραΰνουσι λόγοις τοὺς θυμοὺς ἀνηρεθισμένους καταστέλλουσι. ὕπνῳ δὲ, φησὶν, οὐ κατὰ τοὺς ἄλλους τῶν ἀνθρώπων χρῶνται, ἀλλὰ θρεμμάτων μὲν πλῆθος ἑαυτοῖς ἔχουσι συνεπόμενον, κώδωνας δὲ ἐξέδησαν ἐκ τῶν κεράτων τῶν ἀρρένων πάντων, ὅπως ὁ ἀπ᾽ αὐτῶν ψόφος διώκῃ τὰ θηρία. ἐπεὶ δὲ νὺξ ἐπῇ, εἰς μάνδρας μὲν συνάγουσι τὴν λείαν, ἄνωθεν δὲ ἐπιβάλλουσι ῥιποὺς ἐκ φοινίκων. καὶ αἱ μὲν γυναῖκες μετὰ τῶν νηπίων τούτοις ἐπιβαίνουσιν· οἱ δὲ ἄνδρες πυρὰ κύκλῳ καίουσιν, ᾄδοντες πατρίους τινὰς μύθους. καὶ τὸν ὕπνον οὕτω παρωθοῦνται, ἐν πολλοῖς τῆς μελέτης διὰ τὴν ἀναγκαίαν τὴν φύσιν νικώσης. ἐπεὶ δέ τινες τοῦ πᾶσιν ὀφειλομένου γήρως βαρύνοντος μηκέτι δύνωνται ταῖς ποίμναις ἐπακολουθεῖν, περιθέντες βοὸς οὐρὰν περὶ τὸν αὐχένα τὸν αὐτῶν, καὶ τὸν ὀπίσω τοῦ τραχήλου δεσμὸν, εὖ μάλα περισφίγξαντες, ἀπολύουσι τοῦ βίου. εἰ δέ τις αὐτῶν τὴν τελευτὴν ὑπεράγοι, παραστὰς ὁ θέλων ἄφνω, ὡς ἐπ᾽ εὐνοίᾳ τὸν ὄκνον ἀφαιρούμενος, νουθετῶν ἅμα τῷ ψόγῳ τῆς ἀναστροφῆς, διὰ τῆς αὐτῆς ὁδοῦ παρέλυσεν. οὐ τοὺς γηράσκοντας δὲ μόνον οὕτως τοῦ ζῆν ὑπεξάγουσιν, ἀλλὰ καὶ οὓς ἢ νόσος ἐπίμονος, ἢ μελῶν τινὸς πήρωσις ἀχρήστους εἰς τὸ ταῖς ἀγέλαις παρασκευάσῃ συνέπεσθαι.

Ὅτι φησὶ τῆς ὅλης οἰκουμένης ἐν τέτταρσι κυκλιζομένης μέρεσιν, ἀνατολῆς λέγω, δύσεως, ἄρκτου καὶ μεσημβρίας, τὰ μὲν πρὸς

ἑσπέραν ἐξείργασται Λύκος τε καὶ Τίμαιος· τὰ δὲ πρὸς ἀνατολάς, Ἑκαταῖος καὶ Βάσιλις· τὰ δὲ πρὸς τὰς ἄρκτους, Διόφαντος καὶ Δημήτριος· τὰ δὲ πρὸς μεσημβρίαν, (φορτικόν, φησί, τὸ ἀληθές) ἡμεῖς. Ὅτι τοὺς τῶν ἀνθρώπων διαφορωτάτους βίους οὐ πολὺ διαμετρεῖ καὶ διορίζει τόπος. ἐκ γὰρ τῆς μαιώτιδος λίμνης πολλοὶ τῶν φορτιζομένων ἐν φορτηγοῖς ἀκάτοις, δεκαταῖοι κατῆραν εἰς τὸν ῥοδίων λιμένα· ἀφ' ὧν ὑπὸ τὸν αὐτὸν καιρὸν τεταρταῖοι μὲν ἀφίκοντο εἰς τὴν ἀλεξάνδρειαν, ἐκ δὲ ταύτης, ἐναντίῳ τῷ ῥεύματι πλέοντες ἀνὰ τὸν ποταμόν, ἐν ἄλλαις δέκα παραγένοιντ' ἂν οὐ χαλεπῶς εἰς αἰθιοπίαν. ὥστε ἀπὸ τῆς ὑπερβολῆς τοῦ ψύχους εἰς ἄκραν τοῦ καύματος τὴν ἀκμὴν μὴ πλείους εἴκοσι γίνεσθαι καὶ πέντε τοῖς κομιζομένοις ἐνδελεχῶς ἡμέρας. ἀλλ' ὅμως τοσαύτης οὔσης τῆς τοπικῆς διαστάσεως, ἀνυπέρβλητον ἔχουσι πρὸς ἀλλήλους οἱ ἄνθρωποι τοῦτε βίου καὶ τῶν ἐθῶν καὶ τοῦ ἀέρος τὴν διαφοράν· ὥστε μηδὲ πιστεύεσθαι παρ' ἑτέροις τὰ παρ' ἄλλοις συνήθη τε καὶ ὁμολογούμενα, μηδὲ στέργειν ὅλως δύνασθαι ὧν χωρὶς ἕτεροι οὐδὲ ζῆν ἂν ἕλοιντο. οὕτως ἔχει τι φίλτρον μέγα πᾶσα συνήθεια· καὶ νικᾷ τὸ ἀπὸ τοῦ περιέχοντος δυσχέρειαν ὁ χρόνος ὁ τὸ πρῶτον δεξάμενος εἰς τὸν βίον ἡλικίαν.

Περὶ τῶν κατὰ τὴν ἀραβίαν λεόντων.

Ὅτι οἱ κατὰ τὴν ἀραβίαν λέοντες, φησί, ψιλώτεροι μέν εἰσι καὶ θρασύτεροι, τῷ χρώματι δὲ ὁμαλοί, καθάπερ οἱ γινόμενοι περὶ τὴν βαβυλωνίαν· οὕτω δὲ τοῖς τριχώμασι στίλβοντες, ὥστε ἀπὸ τῶν αὐχένων ξανθότητα ἀπολάμπειν χρυσῷ παραπλησίαν.

Περὶ μυρμηκολεόντων.

Τῶν δὲ καλουμένων μυρμηκολεόντων οἱ μὲν πλεῖστοι κατὰ τὴν ἰδέαν, τῶν λοιπῶν οὐδὲν παραλλάττουσιν, τὴν δὲ τῶν αἰδοίων φύσιν ἀπεστραμμένην ἔχουσιν ἐναντίαν τοῖς ἄλλοις.

Περὶ παρδάλεων.

Ὅτι αἱ παρδάλεις οὐκ εἰσὶ καθάπερ ἐν τοῖς τόποις τοῖς περὶ καρίαν καὶ λυκίαν, μακραὶ δὲ τῷ σώματι, καὶ κακοπαθεῖν ἐν καύμασι καὶ πόνοις δυνάμεναι πολὺ μᾶλλον. τῇ δὲ ὀργῇ τοσοῦτῳ διαφέρουσι τῶν ἄλλων ὅσον ἄγριον ἡμέρου.

Περὶ ῥινοκέρωτος.

Ὅτι ὁ ῥινόκερως ἐλέφαντος μὲν οὐ λείπεται, τῷ δὲ ὕψει καταδεέστερος ὑπάρχει· χρῶμα δὲ ἔχει πύξῳ παρεμφερές. ἀπελὴς δὲ καὶ τὴν ἁφὴν τοῦ δέρματος. σιμὸν δὲ ἐπ' ἄκρων φορεῖ τῶν μυκτήρων κέρας, σιδήρῳ τὴν βίαν παραπλήσιον· ᾧ τὸν μὲν ἄλλον χρόνον, πρὸς τὴν ἂν πέτραν παραθήγεται, ῥήσσει προσβαλὼν τὰ στέρνα· συμπεσὼν δὲ ἐλέφαντι, (τούτῳ γὰρ τὸν πάντα περὶ τῆς νομῆς διαμιλλᾶται βίον) ὑποδὺς τὴν κοιλίαν, καὶ τῷ κέρατι τὸ κύκλωμα τῆς σαρκὸς ἀναρρήξας, ἔξαιμον εὐθὺς ποιεῖ. καὶ πλείστους ἐστὶν ἐλέφαντας ἰδεῖν οὕτω τετελευτηκότας. ἂν μέντοι συμβῇ τῷ ῥινοκέρωτι τῆς κοιλίας μὴ ἅψασθαι, τοὐναντίον αὐτὸς ὑπὸ τῆς προβοσκίδος καὶ τῶν ὀδόντων τυπτόμενος, πολλαχῶς ἐξαδυνατεῖ, καὶ παραλύεται, μεγάλης ὑπαρχούσης κατὰ τὴν ἰσχὺν καὶ βίαν τῆς παραλλαγῆς.

Περὶ καμηλοπαρδάλεως.

Ὅτι παρὰ τοῖς τρωγλοδύταις ἐστὶ καὶ ἡ λεγομένη παρ' ἕλλησι καμηλοπάρδαλις, σύνθετον τρόπον τινὰ κατὰ τὴν κλῆσιν, καὶ τὴν φύσιν λαχοῦσα. τὴν μὲν γὰρ ποικιλίαν ἔχει παρδάλεως, τὸ μέγεθος δὲ καμήλου, τὸ πάχος δὲ ὑπερφυές· τὸν δὲ αὐχένα, τοιοῦτον ὥστε ἀπ' ἄκρων ἀμέλγεσθαι τῶν δένδρων τὴν τροφήν.

Περὶ σφιγγός.

Ὅτι αἱ σφίγγες, φησὶ, καὶ οἱ κυνοκέφαλοι καὶ κῆποι παραπέμπονται εἰς τὴν ἀλεξάνδρειαν ἐκ τῆς τρωγλοδυτικῆς καὶ

τῆς αἰθιοπίας. εἰσὶ δὲ αἱ μὲν σφίγγες, ταῖς χοιρομάγαις παρόμοιαι· πλὴν ὅτι πᾶσαι δασεῖαι καὶ ταῖς ψυχαῖς ἥμεροι καὶ πρᾶοι· καὶ πανουργίας κοινωνοῦσι πλείστης, διδασκαλίας τε μεθοδευτικῆς ἐπὶ ποσὸν ἅπτονται. ὥστε τὴν ἀρυθμίαν ἐν πᾶσι θαυμάζειν. ὁ δὲ κυνοκέφαλος τὸ μὲν σῶμα ἀνθρώπου δυσειδοῦς ὑπογράφει, τὸ πρόσωπον δὲ κυνός. φωνὴν δὲ ἀφίησι μυγμῷ παραπλησίαν, ἄγριον δὲ ὑπερβολῇ, καὶ τελείως ἀτιθάσευτον, καὶ τὴν ὄψιν ἐμφαίνον ἀπό τε τῶν ὀφρύων καὶ τῶν ὀμμάτων αὐστηράν. περὶ μὲν τὸν ἄρρενα ταῦτα· τῇ δὲ θηλείᾳ πρόσκειται καὶ τὸ τὴν μήτραν ἔξω τοῦ στόματος φορεῖν, καὶ οὕτω διαγίνεσθαι πάντα τὸν βίον.

Περὶ κήπου τοῦ θηρίου.

Ο δὲ κῆπος ἔχει τὸ μὲν πρόσωπον λέοντι, τὸ δὲ σῶμα πανθήρει, τὸ δὲ μέγεθος δορκάδι· κατὰ τὴν ποικιλίαν καὶ τὴν προσηγορίαν λαβών. πάντων δὲ τῶν εἰρημένων ἀγριώτατον καὶ δυσκατεργαστότατον τὸ τῶν ταύρων τῶν σαρκοφάγων γένος, ὃ τοῖς μεγέθεσι μὲν ὑπάρχει τῶν ἡμέρων ἁδρότερον, τάχει δὲ ὑπερβάλλον, πυρρὸν δὲ διαφόρως· καὶ τὸ μὲν στόμα μέχρι τῶν ὤτων αὐτοῦ διέστηκεν, ὄμμα δὲ ὑποφαίνει γλαυκότερον λέοντος. τὰ δὲ κέρατα τὸν μὲν ἄλλον χρόνον τοῖς ὠσὶ παραπλησίως κινεῖ· μάχῃ δὲ χρώμενον ἵστησιν ἀσαλεύτως. τὴν δ᾽ ἐπαγωγὴν τῆς τριχὸς ἐναντίαν ἔχει τοῖς ἄλλοις. τοῦτο δὲ τοῖς τε ἀλκιμωτάτοις ἐπιτίθεται, καὶ κυνηγεῖ τὰ λοιπὰ τῶν ζώων· καὶ τὰς ποίμνας τῶν ἐπιχωρίων μάλιστα κακοποιεῖ, καὶ μόνον ἐστὶν ἄτρωτον λόγχῃ καὶ τόξῳ· διὸ καὶ ποιῆσαι μὲν ὑποχείριον οὐδεὶς, πολλῶν ἐπιβεβλημένων, κατίσχυσεν. τὸ δ᾽ εἰς ὄρυγμα ἐμπεσὸν, ἤ τινα δόλον τούτῳ παραπλήσιον, ὑπὸ τοῦ θυμοῦ συντόμως γίνεται πνιγές. καὶ τὸ μὲν θηρίον εἰκότως κρίνεται καὶ παρὰ τοῖς τρωγλοδύταις ἀλκὴν μὲν ἔχειν λέοντος, τάχος δὲ ἵππου, ῥώμην δὲ ταύρου· σιδήρῳ

δὲ οὐχ ὑπεῖκον. Ὅτι ὁ κατὰ τὴν αἰθιοπίαν ὀνομαζόμενος κροκόττας, ἔστι μὲν ὀνομαζόμενος ὡς ἐκ λύκου καὶ κυνὸς σύνθετον, ἀμφοῖν δὲ ἀγριώτερον καὶ πολλῷ βαρύτερον ἀπό τε τοῦ προσώπου καὶ τῶν ἄκρων ποδῶν· ἀλκῇ δὲ θαυμαστόν· ὀδοῦσι δὲ καὶ κοιλίᾳ δυνατώτατον τῶν ἄλλων. καὶ γὰρ καταγνυσιν εὐπόρως πᾶν ὀστοῦ γένος, καὶ τὸ διαιρεθὲν, ἀθέως δεδαπάνηται καὶ περὶ τὰς πέψεις ἀδιήγητον. τοῦτο δὲ καὶ μιμεῖσθαί τινες τὴν ἀνθρωπίνην διάλεκτον διηγούμενοι, ἡμᾶς μὲν οὐ πείθουσιν, ἐκεῖνοι δὲ καὶ τοῦτο προστιθέασιν, ὡς καὶ ἐξ ὀνόματος κατὰ τὰς νύκτας καλοῦντες, τοὺς δὲ ὡς ἐπ' ἀνθρώπου φωνῇ προσιόντας· οἱ δὲ ἀθρόον ἐπεισπίπτοντες, κατεσθίουσιν.

Περὶ ὄφεων παραδόξων τὰ μεγέθη.

Ὅτι ὄφεων, φησὶ, λέγεται μεγέθη παράδοξα ἐν τοῖς τόποις εἶναι καὶ γένη θαυμαστὰ, καὶ πάντα ἀπὸ κυνηγίας ἔχοντα τὸν βίον. τῶν μέντοι ὑπὸ τὴν ἡμετέραν, φησὶν, ὄψιν πεπτωκότων ὁ μέγιστος πέφυκε πηχῶν τριάκοντα. γίνεται δὲ πᾶς, φησὶν, ὄφις, καὶ ὁ μέγιστος, χειροήθης, ἐνδείᾳ τῶν ἀναγκαίων πιεζόμενός τε καὶ κακουχούμενος. καὶ γὰρ καὶ ὃν ἰδεῖν ἐκεῖνος φησὶν, ὅτι ὅτε τῆς τροφῆς ἀπορίᾳ προσκειμένης συνεχῶς, ἅμα τὸν θυμὸν ἐταπείνου καὶ τροφῆς ὄρεξιν ἐνεποίει σφοδροτέραν, τηνικαῦτα ἐντὸς τοῦ πλέγματος παρεμβάλλοντες ἱερεῖα πρὸς τὴν ἐπιθυμίαν, οὕτω παρεσκεύασαν χειροήθη καὶ πρᾶον τὸν ἄγριον, ὥστε μηδὲν τῶν ἄλλων νομίζειν μήτε ἡμερώτερον, μήτε φοβερώτερον. εἰκότως, οἶμαι, τοῖς ὑποχειρίοις τῶν ζώων τούτου συναντῶντος. τὸ μὲν γὰρ ἀντιβαῖνον κακουχεῖται, τὸ δὲ συγχωροῦν τρέφεται. πᾶν δὲ θηρίον διδάσκεται σωφρονεῖν, οὐ λόγῳ τὴν ἐκδοχὴν τοῦ κρείττονος μανθάνον, παραπεπλεγμένης δὲ ἐναλλὰξ τῷ πάθει τῆς μνήμης. Ὅτι φησὶ, πολλῶν ὑπαρχόντων θαυμασίων καὶ πόρρω κειμένων ἀπὸ τῆς συνηθείας, αὐτοὺς ἐπελεύσομαι τῶν τόπων τοὺς μνήμης ἀξίους.

περὶ τὸν

πρῶτον μὲν ἀπ' Ἀρσινόης παραθέοντι τὴν δεξιὰν ἤπειρον θερμὰ πλείοσιν αὐλοῖς ἐκ πέτρας ὑψηλῆς εἰς θάλατταν διηθεῖται, στενοὺς ἔχοντα πόρους, οὐ γλυκέος ὕδατος, ἀλλὰ πικρᾶς ἁλμυρίδος τε καὶ πηγῆς φύσιν ἐχούσης τοιαύτην. εἶτα ἀπὸ τῆς λίμνης συμβέβληκεν ὁ νεῖλος, ὀχετοῦ διά τινων ἀραιωμάτων εἰς τὸν κοιλότατον ὑπερθέοντος τόπον. πλησίον δὲ τῆς λίμνης, ἐν μεγέθει πεδίῳ βεβηκὸς ὄρος ἀναφαίνεται μιλτῶδες, ἄλλην μὲν οὐδεμίαν ὑποδεικνύον ἰδιότητα, χροιὰν δὲ τοιαύτην ἀπὸ τῆς κορυφῆς σημαῖνον τῆς ἄκρας, ὥστε τῶν ἀτενιζόντων τὰς ὄψεις ἐπιπλέον βλάπτεσθαι. ἐφεξῆς δὲ λιμὴν μέγας ἐκδέχεται· ὃς πρότερον μὲν μυὸς ἐκαλεῖτο ὅρμος, ἔπειτα δὲ ἀφροδίτης ὠνομάσθη. ἐν οἷς καὶ νῆσοι τρεῖς εἰσιν προκείμεναι· ὧν αἱ μὲν ἐλαίαις πεπύκνωνται, μία δὲ ἧττον μὲν δασεῖα, τῶν δὲ καλουμένων μελεαγρίδων ἐκτρέφουσα πλῆθος. τούτοις δ' ἐγγίζει κόλπος ὃν καλοῦσιν ἀκάθαρτον. ὃν παραπλεύσαντι νῆσος ἔκκειται, τῇ μὲν θέσει πελαγία, μῆκος ἔχουσα σταδίων ὡς ὀγδοήκοντα, ἣν καλοῦσιν ὀφιώδη, πρότερον μὲν γέμουσα παντοίων ἑρπετῶν, ἐφ' ἡμῶν δὲ ἐλευθέρα τούτων. ἐν δὲ ταύτῃ γίνεται τῇ νήσῳ, φησί, καὶ τὸ καλούμενον τοπάζιον· ἔστι δὲ τοῦτο, λίθος διαφαινόμενος, ὑάλῳ προσεμφερὴς, ἡδεῖαν ἐν χρυσῷ θεωρίαν ἀποδιδούς. τοῦτον τὸν λίθον οἱ τὴν νῆσον οἰκοῦντες καὶ τὴν λίθον βασιλικῷ φυλάσσοντες καὶ συλλέγοντες προστάγματι, οὕτω λαμβάνουσιν· ἐν τῇ νυκτὶ πρὸς μέρος περιπολοῦσιν, ἔχοντες παντοίας τοῖς μεγέθεσι σκαφίδας. ὁ δὲ ἐν ταῖς πέτραις λίθος, τὴν μὲν ἡμέραν ὑπὸ τοῦ φέγγους κρατούμενος, διὰ τὸ πνῖγος οὐ γίνεται σύνδηλος· σκότους δὲ ἐπιστάντος ἐν ᾧ ποτ' ἂν ᾖ πεφυκὼς, διαλάμπει πάντοθεν. ὁ δὲ συνιδὼν φύλαξ τηλικοῦτον περιέθηκεν ἄγγος σημείου χάριν περὶ τὸ διαστίλβον, ἡλίκον ἂν ᾖ τοῦ θεωρουμένου φαντάσματος τὸ μέγεθος· εἶτα τὴν ἡμέραν

ἐπερχόμενος, ἰσοπληθῆ τῇ προειρημένῃ περιτεμὼν πέτρας, τοῖς ἐκλεαίνειν δυναμένοις τεχνίταις παραδίδωσιν. μετὰ δὲ ταῦτα τὸ πέλαγος οὕτως ἐστὶ ταπεινόν, ὥστε μήτε πλεῖον δυεῖν ὀργυιῶν ἀναμετρεῖσθαι· καὶ χλωρὸν πάντοθεν, οὐ τῇ φύσει τῶν ὑγρῶν, ἀλλ' ὑπὸ τοῦ διαφαίνοντος μνίου τε καὶ φύκους· ὅθεν καὶ κυνῶν ἔχει θαλαττίων ἀναρίθμητον πλῆθος. διὰ τὴν αἰτίαν ὁ ῥηθεὶς πόρος νηῒ μὲν μακρᾷ καὶ τοῖς ἐπήρεσι πλοίοις γίνεται εὐάρμοστος. ἀκύμονα τε γάρ ἐστιν, οὐκ ἐκ πολλοῦ κυλίων τὸν κλύδωνα, καὶ θήραν ἰχθύων παραδίδωσιν ἄπιστον. τὸ δὲ περὶ τὰς ἐλεφαντηγοὺς κακὸν πολὺν ἔλεον τοῖς πάσχουσιν ἀπὸ τῶν ὁρώντων ἐκκαλεῖται. τὰ γὰρ πλοῖα τὸ κῦμα ἐξαίφνης τῇ πέτρᾳ περιέθηκεν, ἢ πρὸς ἀμμώδη συνήλασεν περιοχὴν, καὶ ἄπορον τὴν σωτηρίαν παρέσχε τοῖς ἐμπλέουσι. διὸ τὰ μὲν πρῶτα ὀδυρμὸς τοὺς ἐπιπλέοντας συνέχει, πολὺς μέν, οὐκ ἀπογινώσκων δὲ τὴν ἀμείνω προσδοκίαν. ἤδη γὰρ τινὰς οὕτως ἀπενεχθέντας σέσωκε πλημμυρὶς ὑπολαβοῦσα τοῖς ἐποιδοῦσιν αἰφνιδίως ἐκ τῆς θαλάττης ὄγκοις. ἐπὰν δὲ λίπῃ τὰ τῆς τροφῆς, μυρία μὲν ἀναδέχονται πάθη, τέλος δὲ ἀναλίσκονται πάντες, ἢ λιμῷ, ἢ τοῦ λιμοῦ τὸ μακροχρόνιον οὐ φέροντες, ξίφει ἢ αὐτῇ θαλάσσῃ σφᾶς αὐτοὺς ἐπιρρίπτοντες. Οὗτός φησι, τὰ μὲν ἕως τῶν ταύρων καὶ πτολεμαΐδος ἡρμηνεῦται· τὰ δὲ ἀνωτέρω τούτων, οὐ τὴν τυχοῦσαν λαμβάνει μετάβασιν. κεῖται γὰρ οὐκέτι τὰ ἐπέκεινα πρὸς μεσημβρίαν τῆς χώρας, ἀεὶ δὲ παρὰ τὴν ἀνατολὴν ἀναστρέφει μᾶλλον, καὶ τὰς σκιὰς βάλλει πρὸς δυεῖν ὡρῶν, εἰς τὸν ἀντικείμενον τόπον τῆς ἄρκτου. ἔτι δὲ καταρρύτοις τὰς πηγὰς ἀναφαίνουσιν ἀπὸ τῶν ψεβαίων καλουμένων ὀρῶν. τῆς δὲ χώρας ἡ μὲν εἰς τὴν μεσόγειον ἀνατείνουσα, πλήρης ἐλεφάντων καὶ ῥινοκέρων, καὶ ταύρων καὶ ὑῶν· τὰ δὲ εἰς τὸν πόρον καθήκοντα, νήσοις ἅπαντα πυκνοῦται, τῇ φύσει μὲν ἀκάρ-

πεις, γεμούσαις δὲ ἀνιστορήτοις ὀρνέων ἰδέας ἐχόντων. τὸ δὲ ἀπὸ τοῦδε, ἡ μὲν θάλαττα βαθεῖά τε καὶ πλώϊμος, κήτη δὲ ἔχει τηλικαῦτα, ὥστε ἀγωνιᾶν τὸν ἰδόντα. οὐ μέντοιγε διαπεφώνηκεν οὐδεὶς, πλὴν τῶν περιπεπτωκότων ἀκουσίως ταῖς λοφίαις, διὰ τὴν τῶν εἰρημένων ἄγνοιαν. καὶ γὰρ οὐδὲ διώκειν δύναται θρασύτερον τοὺς πλέοντας, τῶν ὀμμάτων τοῖς θηρίοις ἀμαυρουμένων, ὅταν ἐκ τῆς θαλάττης τὰ πρόσωπα ἀναφήνωσι. Ὅτι τοῦ φοινικῶνος τὰ μὲν ἄνωθεν ὁρώμενα, πέτραις ὕψεσιν ποικίλαις κατέχεται· τοῖς δὲ πρὸς θάλασσαν διήκουσιν ἠϊὼν ὑπόκειται στενή τε καὶ μακρά· τῇ δὲ εἰρημένῃ παραλίᾳ συνάπτει μὲν τόπος ὃν προσηγόρευσαν νῆσσαν, ἀπὸ τῆς τοῦ ζώου πολυπληθίας· αὕτη δὲ ἡ νῆσσα κεῖται μὲν ἐγγὺς ἀκρωτηρίου καθ' ὑπερβολὴν ὑλώδους, διατείνει δὲ ἐπ' εὐθείας θεωρουμένη πρός τε τὴν πέτραν καλουμένην καὶ τὴν παλαιστίνην. εἰς ἣν γερραῖοι καὶ μιναῖοι, καὶ πάντες οἱ πλησίον ἔχοντες τὰς οἰκήσεις ἄραβες, τόν τε λιβανωτὸν, ὡς λόγος, καὶ τὰ φορτία τὰ πρὸς εὐωδίαν ἀνήκοντα ἀπὸ τῆς χώρας τῆς ἄνω κατάγουσιν. Ὅτι μετὰ τὸν καλούμενον λαιανίτην κόλπον, ὃν ἄραβες περιοικοῦσιν, ἡ βυθημαιέων ἐστὶν γῆ, πολλή τε καὶ πεδιὰς καὶ πᾶσα κατάρρυτος καὶ βαθεῖα· ἄγρωστιν δὲ μόνον καὶ μηδικὴν καὶ λωτὸν βάθος ἀνδρομήκες ἔχοντι πᾶς ὁ καρπὸς αὐτῇ περιγράφεται, ἕτερον δὲ γεωργεῖ οὐδέν. διὸ πολλαὶ μὲν ἐν αὐτῇ ἀγέλαι κάμηλοι, πολλαὶ δὲ ἐλάφων καὶ δορκάδων ἀγέλαι, συχναὶ δὲ ποίμναι προβάτων, καὶ ἀμύθητος ἀριθμὸς ἡμιόνων καὶ βοῶν. τούτοις δὲ τοῖς εὐκληρήμασιν ἀντικείμενον παραπέπλεκται κακόν· λεόντων γὰρ καὶ λύκων καὶ παρδάλεων συναναφέρει πλῆθος ἡ γῆ· ὡς εἶναι τὸ τῆς χώρας ἐπίτευγμα τοῖς οἰκηταῖς αἴτιον ἀκληρίας. ἀπὸ δὲ τῆς ἐφεξῆς αἰγιαλῶν κόλπος ἐστὶ νενευκὼς μὲν εἰς τὸν μυχὸν τῆς χώρας, ὁ

οὐκ ἔλαττον δὲ σταδίων πεντακοσίων ὑποδείκνυσι τὸ βάθος. οἱ δὲ τὴν ἐντὸς τοῦ κόλπου κατοικοῦντες, καλοῦνται μὲν βατμιζομανεῖς, εἰσὶ δὲ κυνηγοὶ τῶν χερσαίων ζώων. τὴν δ' εἰρημένην χώραν νῆσοι τρεῖς ἐκδέχονται, λιμένας ποιοῦσαι πλείους· ὧν τὴν πρώτην, Ισιδος ἱερὰν ὠνόμασαν· τὴν δὲ δευτέραν, σούκαβαν· τὴν δὲ τρίτην, σαλυδώ. ἐρήμοις δὲ πάσας καὶ συσκίοις ἐλαίαις, οὐ ταῖς παρ' ἡμῖν, ἀλλὰ ταῖς ἐν ἐκείνοις τοῖς τόποις φυομέναις. μετὰ δὲ ταῖς νήσοις ταῖς ἐκκειμένας ἐστὶν ἰδεῖν αἰγιαλὸν λιθώδη καὶ μακρόν. ἡ δὲ χώρα, θαμουδηνῶν ἀράβων. ὁ δὲ πρὸς ταύτην παράπλους, ἐπὶ σταδίους τῶν χιλίων πλείους, πάντων χαλεπώτατος. οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐ λιμὴν εὔορμος, οὐ σάλος ἐπ' ἀγκύρας, οὐ κόλπος ἐπισκέπης, οὐ χηλῆς ἐντύπωμα, ἀναγκαία καταφυγὴ, τὸν ναυτίλον δεχόμενον. μετὰ ταῦτα δὲ, οὐκ εὐθὺς ἐφεξῆς, ἀλλὰ μεθ' ἕτερά τινα, ἔστιν αἰγιαλὸς εἰς ὑπερβολὴν κάθυδρος ἐκτεινόμενος, καὶ τὸ προσηγορευμένον λαιμὸν ὄρος, ἀμύθητον μὲν ἀναφαίνων τῆς περιμέτρου τὸ μέγεθος, παντοίας δὲ ὕλης δρυμοῖς διεζωσμένον. Οπι τὴν ἀσυγκίπτα τῆς ὀρεινῆς χέρσου δεδέβαι κατοικοῦσιν· οἱ μὲν, νομάδες, οἱ δὲ, γεοῦχοι. ὧν κατὰ μέσην τὴν χώραν ποταμὸς διαφέρεται τριμερὴς μὲν τῇ φύσει, ψῆγμα δὲ χρυσοῦ κατάγων, οὕτω σιώδηλον τὴν δαψίλειαν ἔχων, ὥστε τὴν ἰλὺν τὴν πρὸς ταῖς ἐκβολαῖς συνηγμένην πόρρωθεν ἀποστίλβειν. οἱ δὲ τὸν τόπον οἰκοῦντες, τῆς μὲν ἐργασίας εἰσὶ τῆς τοιαύτης ἄπειροι, φιλόξενοι δὲ εἰς ὑπερβολὴν, οὐ πᾶσιν ἀνθρώποις, ἀλλὰ τοῖς ἀπὸ πελοποννήσου διεκβάλλουσι καὶ βοιωτίας, διά τινα μυθικὴν ἀφ' Ηρακλέυς ἱστορίαν.

Τούτων ἀσυγκίπτνές εἰσιν ἀλιλαῖοι καὶ κασανδρεῖς, κέκληνται δὲ γῆν οὐδαμῶς ἐοικυῖαν ταῖς προειρημέναις. οὔτε γὰρ ἐψυγμένος ὁ ἀὴρ, οὔτε ξηρὸς, οὔτε ἔμπυρος, μαλα-

κὴν δὲ καὶ δασεῖαν νεφέλην ὑποδεικνύων· ἀφ' ἧς καὶ χειμῶνες γίνονται καὶ θέρους εὔκαιροι. τῆς τε χώρας ἡ πλείστη πάμφορος μέν ἐστιν· οὐ πᾶσα δὲ τυγχάνει θεραπείας, τῶν ἄλλων ἀπειροτέρων ὄντων. τὸν μὲν τοι χρυσὸν ὀρύσσοντες ἐν τοῖς πλακώδεσι τῆς χώρας ὑπονόμοις εὑρίσκουσι πολύν, οὐ τὸν συντηκόμενον μετ' ἐπιστήμης καὶ τέχνης ἐκ τοῦ ψήγματος, ἀλλὰ τὸν αὐτόματον, καλούμενον δὲ, διὰ τὸ συμβαίνειν, παρ' ἕλλησιν, ἄπυρον· οὗ τὸ μὲν ἐλάχιστον ἔχει μέγεθος πυρῆνος, τὸ δὲ μέσον, μεσπίλου, τὸ δὲ μέγιστον, ὥστε βασιλικοῖς παραβάλλεσθαι καρύοις· ὃν τρήσαντες ἐναλλὰξ διαφανέσι λίθοις, περί τε τοὺς καρποὺς φοροῦσι τῶν χειρῶν καὶ περὶ τοὺς αὐχένας. πρός τε τοὺς ἀστυγείτονας μετάγοντες, πωλοῦσιν εὐτελῶς. τὸν μὲν γὰρ χαλκὸν πρὸς τὸν χρυσὸν τρίσταθμον ἀλλάττονται, τὸν δὲ σίδηρον πρὸς διπλοῦν χρυσίον. ὁ δὲ ἄργυρος τοῦ χρυσοῦ δέκα δύναται μοίρας, τῇ δαψιλείᾳ καὶ σπάνει τῆς ἀξίας παραμετρουμένης. ἐν οἷς ἀποβλέπει πᾶς ὁ βίος οὐ πρὸς τὴν φύσιν, ἀλλὰ πρὸς τὴν χρείαν. τούτων δὲ τῶν ἀνδρῶν συνεχεῖς κάρβαι κατέχουσι τὴν ἤπειρον ἐκδεχομένου λιμένος ἀγχιβαθοῦς, ἐν ᾧ κρῆναι πλείους ἀναβάλλουσιν. ἐφεξῆς δὲ τὸ τῶν σαβαίων ἐπισυνάπτει γένος, μέγιστον τῶν κατὰ τὴν ἀραβίαν, καὶ παντοίας κύριον εὐδαιμονίας. καὶ γὰρ ἡ γῆ πάντα φέρει τὰ παρ' ἡμῖν γινόμενα πρὸς τὸν βίον· καὶ τὰ σώματά ἐστι τῶν κατοικούντων ἀξιολογώτερα. βοσκημάτων κεχορήγηνται πλήθεσιν ἀμυθήτοις. ὀσμή τε πᾶσαν ἐπέχει τὴν παραλίαν, θέας τε καὶ λόγου κρείττω τέρψιν τοῖς ἀφικνουμένοις κατασκευάζουσα. παρὰ μὲν γὰρ αὐτὴν πέφυκε τὴν θάλατταν τό, τε βάλσαμον πολὺ καὶ κασία, καί τις ἄλλη πρόσφατος μὲν, ἡδίστην δὲ ἔχουσα τῶν ὀμμάτων τέρψιν, ἐν δὲ τῷ χρονίζειν, γινομένη συντόμως ἐξίτηλος· ὥστε πρότερον ἀ[illegible]μαι-

ροῦσθαι τοῦ φυτοῦ τὴν χρείαν, ἢ πρὸς ἡμᾶς παραπέμπεσθαι τοῦ γένους τὴν δύναμιν. ἐπὶ δὲ τῆς μεσογείου δρυμοὶ συνεχεῖς εἰσίν καὶ μεγάλοι. δένδρα γὰρ ἠλίβατα σμύρνης τε καὶ λιβανωτοῦ, πρὸς δὲ καὶ κινναμώμου, φοίνικός τε καὶ καλάμου, καὶ τῶν ἄλλων ἀνεῖται τῶν τοιούτων· ὥστε εἶναι μηδενὶ λόγῳ τὸ πρᾶγμα δηλωτὸν, ὃ συμβαίνει τοῖς περὶ τὰς αἰσθήσεις εἰληχόσι τοῦ γένους τὴν δοκιμασίαν. οὐ γὰρ τὴν τεθησαυρισμένην καὶ παλαιὰν ἔχει τῶν ἀρωμάτων ἀπόλαυσιν· οὐδὲ τὴν ἀπὸ τοῦ γινῶντος καὶ φέροντος οἴκου διακεχωρισμένην· ἀλλὰ τὴν ἀνθοῦσαν ἀπὸ τῆς θείας ἀκμῆς, καὶ τὴν ἀπὸ τῶν οἰκείων καὶ φυσικῶν τὸ θαυμαζόμενον ἀποπέμπουσαν, ὥστε πολλοὺς εἰς λήθην ἀφικομένους τῶν θνητῶν ἀτυχημάτων, τῆς ἀμβροσίας ὑπονοεῖν ἀπολαμβάνειν, ὄνομα τοῦ πράγματος ἐπιζητοῦντας οἰκεῖον τῆς ὑπερβολῆς. περὶ δὲ τοὺς δρυμοὺς τῶν εὐωδῶν, γένος ἐστὶν ὄφεων ἰδιώτατον πάντων, οἱονεὶ φθονούσης τοῖς ἀδροῖς ἐπιτεύγμασι τῆς τύχης, καὶ παραπλεκούσης τἀγαθῷ τὸ βλαβερόν· ὅπως μηδεὶς εἰς τέλος ἐξυβρίζων ὑπερηφανῶδες, καὶ κατεγνωκὼς τοῦ θείου, τὸ φρόνημα λαμβάνῃ τῶν ἀγαθῶν ἐπιχορηγούντων, παιδεύηται δὲ τῇ παραθέσει καὶ μνήμῃ τῶν ἐναντίων. τὸ δὲ γένος τῶν ὄφεων, χρῶμα μὲν ἔχει φοινικοῦν, μῆκος δὲ ὅσον σπιθαμῆς· δῆγμα δὲ ἀνίατον, ἂν τῆς λαγόνος ἀνώτερον αἱμάξῃ· τὴν δὲ πληγὴν δίδωσι παλλόμενον εἰς ὕψος. παρ' αὐτοῖς δὲ τοῖς σαβαίοις ἡ μὲν ὀσμὴ τῶν εὐωδῶν, ἀκροτάτη, ἡ δὲ χάρις, ἐλλιπής. τὸ γὰρ ἐνδελεχὲς ἐκ νηπίου κινεῖ μὲν τὴν αἴσθησιν ἧττον, ἀμβλυτέραν δὲ κατασκευάζει, μεταβολῆς τοῖς βίοις οὐχ ὑποκειμένης. οὐ μὴν ἀλλὰ κἀπειδὰν οὐ δύνανται τὴν ζωὴν παιδαγωγεῖν παραπλησίως ἐστάθη, διαπνεομένου τοῦ σώματος ὑπ' ἀκράτου καὶ τμητικῆς δυνά-

μίως καὶ τὴν σύμμετρον πύκνωσιν ἐπὶ πλεῖον ἀγούσης, ὥστε ἄγειν εἰς ἔκλυσιν ἐσχάτην· ὅτε δὲ ἀσφάλτου παραθυμιῶντες βραχὺ καὶ τράγου πώγωνα τοῖς εἰσιοῦσι, ἀφαιροῦνται τὴν ἄγαν εὐωδίαν τῆς ἐπιφορᾶς ὑπερβολήν· καὶ τῇ μίξει τοῦ δοκοῦντος λυπεῖν τὸ τῆς ἡδονῆς βλαβερὸν ὑποκαταστέλλουσιν. οὕτως ἅπαν ἐπίτευγμα μεσότητι μὲν καὶ τάξει κυβερνώμενον, παραπέμπει τὸν βίον· συμμετρίας δὲ καὶ καιροῦ στερηθὲν, οὐκ ἔχει τὴν κτῆσιν ὀνησιφόρον. τὸ δὲ τῶν Σαβαίων ἄστυ τοῦ παντὸς ἔθνους προσηγορίαν δηλοῦν, ἐπ' ὄρους ἐστὶν οὐ μεγάλου, πολὺ κάλλιστον τῶν κατὰ τὴν Ἀραβίαν, ὃ καλεῖται Σάβας· ὁ δὲ βασιλεύων τοῦ παντὸς ἔθνους, προεδρίαν ἔχει παρὰ τοῦ λαοῦ, τῇ μὲν ἔντιμον, τῇ δὲ ἀκληροτάτην· ἔντιμον μὲν, ὅτι πολλοῖς ἐπιτάττει, καὶ κρίσιν ἀνυπεύθυνον ὃ βούλεται πράττων· ἄκληρον δὲ, ὅτι παραλαβὼν τὴν ἐπιμέλειαν, οὐ δύναται πάλιν ἐκ τῶν βασιλείων ἐξελθεῖν· εἰ δὲ μὴ, λιθόλευστος ὑπὸ πάντων γίνεται, κατὰ χρησμὸν ἀρχαῖον. ὥστε εἶναι τὴν ὑπεροχὴν βλαβεράν. τῶν δὲ ἀνδρῶν οἱ μὲν καταγινόμενοι πρὸς τὸ οἴκοι ἐνδιατρίβειν, βραχὺ ἢ τοῦ θήλεος φύσεως δοκιμώτερον ἄγουσι, ὑπὸ τῆς συνεχοῦς ἀπογυναικούμενοι ῥᾳστώνης· οἱ δὲ ἄλλοι τά τε πρὸς πόλεμον μελετῶσι καὶ τὴν χώραν ἅπασαν ἐργάζονται, καὶ στέλλουσιν ἀποικίας, ταῖς μείζοσι χρώμενοι σχεδίαις. κομίζουσι δὲ ἄλλα τε καὶ μάλιστα τὸν εὐώδη καρπὸν τὸν ἐν τῷ πέραν φυόμενον· Ἀραβισὶ δὲ λέγεται λαρίμναν, μεγίστην ἔχων τῶν ἄλλων θυμιαμάτων εὐωδίαν· ὧν κρατεῖν λέγεται φύσεις ἀρρωστίας ὡς ἐπιπολὺ σωματικῆς. οὐδεμίαν δὲ τῆς γῆς ἄλλην ὕλην φερούσης, ἀναγκάζονται πρὸς τὰ καθ' ἡμέραν τὸ κιννάμωμον καὶ τὴν κασίαν κάειν, καὶ πρὸς τὰς ὑπολοίπους ἐν τῷ βίῳ χρείας. οὕτως

ἀνίσως τὰ αὐτῆς ἡ τύχη μεμέρικεν· τοῖς μὲν σπάνιν τῶν σπουδαίων, τοῖς δὲ πλῆθος διδοῦσα. τῶν δὲ σαβαίων χρῶνται καὶ τοῖς δερματίνοις οὐκ ὀλίγοι τρεῖοις, διδασκούσης τὴν χρείαν τῆς ἀναπαύσεως, καίπερ ἐν τρυφῇ καταγινομένοις. οὐδὲν γὰρ ἐντιμότερον σαβαίων καὶ γερραίων εἶναι δοκεῖ γένος, ἐκ πεταμιευμένων πᾶν τὸ πίπτον εἰς διαφορᾶς λόγον ἀπὸ τῆς ἀσίας καὶ τῆς εὐρώπης. οὗτοι πολύχρυσον τὴν Πτολεμαίου συρίαν πεποιήκασιν, οὗτοι τῇ φοινίκων φιλεργίᾳ κατεσκευάκασι λυσιτελεῖς ἐμπορείας, καὶ μυρία ἄλλα. ἔστι δὲ πολυτέλεια παρ' αὐτοῖς οὐ μόνον ἐν τορεύμασι θαυμαστοῖς καὶ ποτηρίων ποικιλίαις, ἔτι δὲ κλινῶν καὶ τριπόδων μεγέθεσι καὶ τῶν ἄλλων τῶν κατ' οἰκίαν παρ' ἡμῖν ἐκλεινομένων λαμβάνει τὴν ὑπερβολὴν πολλῶν, ὡς ἔοικε, κεκτημένων χορηγίαν βασιλικήν. κίονάς τε πολλοὺς αὐτοῖς φησὶ κατεσκευάσθαι ἐπιχρύσοις τε καὶ ἀργυροῖς· πρὸς δὲ, καὶ τὰς ὀροφὰς καὶ θύρας φιάλαις λιθοκολλήτοις διειλῆφθαι πυκναῖς· ὡσαύτως καὶ τὰ μεσοστύλια θέαν ἔχειν ἀπρεπῆ· καὶ καθόλου, τοὺς παρὰ τῶν ἄλλων πλούτους ἐκκεῖσθαι τὴν διαφορὰν μεγάλην. ἀλλὰ ταῦτα μὲν ἕως τοῦ καθ' ἡμᾶς παρ' αὐτοῖς ἐπαγγέλλεται βίου· εἰ δὲ μὴ πόῤῥω διεστηκυῖαν τὴν οἴκησιν κατεῖχον τῶν ἐπὶ πάντα τόπον τὰς δυνάμεις τρεφόντων, οἰκονόμοι τῶν ἀλλοτρίων ἂν ὑπῆρχον, οἱ κύριοι τῶν ἰδίων ἀθλωτ· τῆς ῥαθυμίας ἀδυνατούσης τὸ ἐλεύθερον πλείω χρόνον διατηρεῖν. περὶ δὲ τὴν χώραν ταύτην, ἡ μὲν θάλαττα λευκὴ φαίνεται ποταμῷ ἐμφερὴς, ὥστε παραπλήττεσθαι τοῦ γινομένου τὴν αἰτίαν· νῆσοι δὲ εὐδαίμονες παράκεινται· ἐν αἷς βοσκήματα λευκὰ μὲν ἐστὶ πάντα, οὐδενὶ δὲ τῶν θηλειῶν ἐπιφύεται κέρας. ἐν ταύταις ταῖς νήσοις ἰδεῖν ἐστιν ὁρμούσας ἐμπορικὰς τῶν περισχώρων

ρδίας, πλεύσας μὲν ἐκεῖθεν οὐ κατεστήσατο παρὰ τὸν Ἰνδὸν ποταμὸν ὁ Ἀλέξανδρος ναύσταθμον, οὐκ ὀλίγας δὲ ἀπὸ τῆς Περσίδος καὶ Καρμανίας καὶ τῆς συνεγγὺς πάσης. ἔστι δὲ αὐτοῖς καὶ τὰ κατὰ τὸν οὐρανὸν θαυμασίως ἔχοντα· ὧν δὴ καὶ τὸ περὶ τὴν ἄρκτον συμβαῖνον. ἀπὸ γὰρ Μαμακτηριῶνος, ὃς ἄγεται παρὰ τοῖς Ἀθηναίοις, οὐδεὶς ἀστὴρ τῶν ἑπτὰ φαίνεται μέχρι φυλακῆς πρώτης· ἐν δὲ Ποσειδεῶνι, μέχρι δευτέρας· ἐν δὲ τοῖς ἑξῆς τῶν μηνῶν, κατὰ λόγον. τῶν δ' ἄλλων ἀστέρων οἱ μὲν πλάνητες, ἀόρατοι, τινὲς δὲ τοῖς ὄγκοις μείζονες· οἱ δὲ οὐδὲ κατὰ τοὺς ὑφεστῶτας καιροὺς τὰς δύσεις ποιούμενοι καὶ τὰς ἐπιτολάς. τοῦ δὲ ἡλίου τὴν ἔκφασιν ἐν τοῖς ἐπέκεινα Πτολεμαΐδος ἰδίαν λέγουσι καὶ παρηλλαγμένην. πρῶτον μὲν γὰρ οὐ καθάπερ παρ' ἡμῖν φῶς ἀνήλιον ἕωθεν ὁρῶμεν ἐπὶ χρόνον οὐκ ὀλίγον, εἶτα τὴν ἀνατολήν· ἀλλὰ νυκτὸς σκοτίας ὑπαρχούσης, ἐξαίφνης ἀνέλαμψεν ἥλιος. ἡμέρα δὲ οὐδέποτε γίνεται ἐκεῖσε πρὶν τὸν ἥλιον ἰδεῖν. δεύτερον· ὁ ἥλιος διαφερόμενος φαίνεται ἐκ μέσου τοῦ πελάγους. τρίτον· ποιεῖ δὲ τοῦτο ἄνθρακι μὲν ὢν τῶν πυρωδεστάτων παρόμοιος, ἀκτῖνας δὲ μεγάλους ἀπορρίπτων, τοὺς μὲν εἰς τὸν κύκλῳ τόπον τοῦ φωτίζοντος, τοὺς δέ, εἰς τὸν ἀπωτέρω. τέταρτον. καὶ τὸ σχῆμα δὲ οὐ δισκοειδὲς ἔχειν τὸν ἥλιον φασίν, ἀλλὰ κίονι παχεῖ τά γε πρῶτα ἐμφερῆ, μικρὸν ἐμβριθέστερον ἔχοντι τὴν ἀπὸ τῶν ἄκρων φαντασίαν, οἱονεὶ κεφαλήν. πέμπτον· ἐκτείνων οὔτε αὐγήν, οὔτε ἀκτῖνα ἀπολάμπειν οὐδεμίαν, οὔτε ἐπὶ τὴν γῆν, οὔτε ἐπὶ τὴν θάλασσαν, ἕως πρώτης ὥρας· ἀλλ' ἐπὶ σκότει πῦρ ἀλαμπές. δευτέρας δ' ἐνισταμένης τὸ ὅλον ἄσχον διαβαῖνον ἀσπιδοειδὲς καθιστάμενον, τοῦ σχήματος τὸν τύπον καὶ τὸ φῶς ἐπί τε τὴν γῆν καὶ τὸ πέλαγος βάλλει, οὕτως ἄτοπον καὶ πυρῶδες, ὥστε ἀμφοῖν νομίζεσθαι παμμεγέθεις τὰς ὑπερβολάς. ἕκτον· εἰς δὲ τὴν ἑσπέραν ἐναντίον τὸ περὶ τὸν ἥλιον

πάθος φασὶν ὁρᾶσθαι. ὑποδείξαντα πρὸ ὅτι δέδυκε κατὰ τῆς γῆς, οὐκ ἐλάττω χρόνον ὡρῶν τριῶν μετὰ ταῦτα φωτίζειν. ὃν καὶ νομίζουσι παρ' αὐτοῖς καιρὸν εἶναι τῆς ἡμέρας τὸν ἥδιστον.

Ὅτι εἰπὼν περὶ ἀμπώτεων ὁ συγγραφεὺς διαφόρους αἰτίας, καὶ πάσας ὡς οὐδὲν ἐχούσας ἀληθὲς, ἀποδοκιμάσας, ἐπάγει, ὅτι δὲ ταῦτα πάντα λαλιὰν μὲν ἔχει σιγᾶν αἰσχυνομένην, πράγματος δὲ οὐδενὸς ἀπείληπται βοήθειαν δυναμένου τοῖς εἰρημένοις παρέχειν, ἢ χερὲς ἐπιμαθεῖν. εἶτα προθεὶς καὶ ἕτερα τῆς αὐτῆς ἐννοίας ἐχόμενα, πάλιν ἐπιφέρει, διὸ περὶ μὲν ἀμπώτεως καὶ σεισμοῦ καὶ πνευμάτων τε κεραυνῶν καὶ τῶν τοιούτων ἁπάντων, τὰς μὲν αἰτίας, δι' ἃς γίνεται, παραχωροῦμεν τοῖς ἑτοιμότερον ἔχουσι πρὸς εὐκολίαν, ἡμεῖς δὲ· τὰ δὲ πάθη τὰ γεννῶντα τὰς περιφανεῖς συμφορὰς, δεδηλώκαμεν, μαθόντες παρὰ τῶν εἰδότων, εὑρίσκειν δὲ πιθανώτερα τούτων, εἰς μὲν ὑπόθεσιν παράδοξον, φιλοτιμούμεθα, ἱστορίαν δὲ ἀπαγγέλλοντες ἀληθινὴν, οὐκ ἂν ὑπομείναιμεν.

Ὅτι ἐν τῷ προειρημένῳ πόρῳ φησὶ περὶ τὰς ἐλαίας τοιοῦτόν τι ξένον συμβαίνειν. πλημμυρίδος ὑπαρχούσης, πᾶσαι καλύπτονται· τῆς δ' ἀναπώτεως γινομένης ἐν τῇ θαλάττῃ, πάντα τὸν χρόνον θάλλουσιν. ἔστι δέ τι φυόμενον αὐτόθι κατὰ βάθος ἐν ταῖς ῥαχίαις, μέλανι σχοίνῳ παραπλήσιον. ὅ φασιν οἱ ἐκεῖσε κατοικοῦντες, Ἴσιδος εἶναι τρίχωμα, μυθώδει πλάσματι πίστιν λήθη περιτεθεῖναι ζητοῦντες. συμβέβηκε δ' αὐτῷ, τυπτομένῳ μὲν ὑπὸ τοῦ κύματος, κάμπτεσθαι πολλαχῶς, ἁπαλῆς οὔσης τῆς ὅλης περιοχῆς, καὶ τοῖς ἄλλοις παραπλησίας φυτοῖς· ἂν δέ τις ἀποκόψας εἰς τὸν ὕπαιθρον ἀναφλώῃ τόπον, σιδήρου παραχρῆμα γίνεται τὸ διῃρημένον, σκληρότερον.

Περὶ αἰθίοπος τοῦ ἰχθύος.

Ὅτι καὶ ἄλλοι μὲν πολλοί, φησὶν, ἰχθύες περὶ τοὺς προει-

ρημώδεις πίπτονται τόπους, παρηλλαγμένην ἔχοντες τὴν φύσιν· γίνεται δέ τις ἰχθὺς ὑπερβαλλόντως μέλας, ἀνδρὸς ἔχων μέγεθος, ὃν καλοῦσιν αἰθίοπα, διὰ τὸ καὶ τοῦ προσώπου σιμὸν ἔχειν τὸν τύπον. τοῦτο κατ' ἀρχὰς μὲν οἱ θηρεύσαντες, διὰ τὴν ὁμοιότητα, οὔτε πωλεῖν ἠξίουν οὔτε καταναλίσκειν· τοῦ δὲ χρόνου προϊόντος, ἀμφότερα πράττοντες, οὐδὲν ἁμαρτάνουσι. τὰ μὲν οὖν ὑπὲρ τῶν ἐθνῶν τῶν ἐγκειμένων πρὸς μεσημβρίαν, ὡς ἦν ἐφ' ἡμῖν ἐν πέντε βιβλίοις ἐπιμελῶς ἱστόρηκα μέν· ὑπὲρ δὲ τῶν ἐν τῷ πελάγει νήσων ὕστερον τεθεωρημένων, καὶ τῶν ἑξῆς ἐθνῶν, καὶ τῶν εὐωδῶν ὅσα φέρειν συμβαίνει τὴν τρωγλοδύτην χώραν, ἡμεῖς μὲν παραιτησάμενοι τὴν ἐξήγησιν, ἄρδην ἀπολελοίπαμεν, οὔτε τὸν πόνον τῆς ἡλικίας ὁμοίως ὑποφέρειν δυναμένης, πολλῶν ἡμῖν ὑπέρ τε τῆς Εὐρώπης καὶ τῆς Ἀσίας ἀναγεγραμμένων, οὔτε τῶν ὑπομνημάτων, διὰ τὰς κατ' Αἴγυπτον ἀποστάσεις, ἀκριβῆ παραδιδόντων σκέψιν. εἰ δέ τις κατὰ μέρος πράγμασιν ἐντετυχηκὼς καὶ λόγοις κατεσκευασμένος ἱστορίας ἀξίοις, καὶ προαίρεσιν ἔχων δυναμένην δόξαν πόνῳ θηρεύειν, οὐκ ἀφέξεται.

ΕΚ ΤΩΝ ΤΟΥ ΜΕ-μνονος.

ΤΟΥ Μέμνονος βιβλίου ἱστορικοῦ, ἀπὸ τοῦ ε' λόγου ἕως ς' καὶ ι', ἡ πραγματεία, ὅσα περὶ τὴν ποντικὴν ἡράκλειαν συνηνέχθη, σκοπὸν ἀναγράψαι προτίθεται, τοὺς ἐν αὐτῇ τυραννήσαντας διαλεγομένη καὶ πράξεις αὐτῶν καὶ ἤθη· καὶ τοὺς ἄλλων βίους, καὶ τὰ τέλη οἷς ἐχρήσαντο, καὶ ὅσα τῶν εἰρημένων ἐξήρτηται.

Κλέαρχον μὲν οὖν ἐπιθέσθαι πρῶτον τυραννίδι κατὰ τῆς πόλεως ἀναγράφει. φησὶ δὲ παιδείας μὲν τῆς κατὰ φιλοσοφίαν οὐκ ἀγύμναστον, ἀλλὰ καὶ Πλάτωνος τῶν ἀκροατῶν ἕνα γεγονέναι, καὶ Ἰσοκράτους δὲ τοῦ ῥήτορος τετραετίαν ἀκροάσασθαι· ὠμὸν δὲ τοῖς ὑπηκόοις καὶ μιαιφόνον, εἴπερ τινὰ ἄλλον, ἐπιδειχθῆναι, καὶ εἰς ἄκρον ἀλαζονείας ἐλάσαι, ὡς καὶ Δ. ὸς υἱὸν ἑαυτὸν ἀνειπεῖν, καὶ τὸ πρόσωπον μὴ ἀνέχεσθαι ταῖς ἐκ φύσεως χρωματίζεσθαι βαφαῖς, ἄλλαις δὲ καὶ ἄλλαις ἰδέαις ποικιλλόμενον, ἐπὶ τὸ στιλπνόν τε καὶ ἐρευθὲς τοῖς ὁρῶσιν ἐπιφαίνεσθαι· ἐξαλλάττειν δὲ καὶ τοὺς χιτῶνας ἐπὶ τὸ φοβερόν τε καὶ ἁβρότερον. οὐ ταῦτα δὲ μόνον γενέσθαι κακόν, ἀλλὰ καὶ πρὸς τοὺς εὐεργέτας ἀχάριστον, καὶ πάντα βίαιόν τε καὶ τὰ ἄτοπα τολμηρόν· φῦναι δὲ καὶ δραστήριον τὸν παλαμναῖον οἷς ἂν ἐπιβάλοι, οὐ κατὰ τῶν ὁμοφύλων μόνον, ἀλλὰ καὶ εἴ τι ἐν ἀλλοφύλοις ἐφρόνει πολέμιον. βιβλιοθήκην μέντοι κατασκευάσαι, πρὸ τῶν ἄλλων οὓς ἡ τυραννὶς ἀπέδειξεν ὀνομάζεσθαι. τοῦτον δὲ ἐπιβουλὰς μὲν πολλὰς πολλάκις διὰ τὸ μιαιφόνον καὶ μισάνθρωπον καὶ ὑβριστικὸν κατ' αὐτοῦ συστάσας διαφυγεῖν· ὀψὲ δὲ καὶ μόλις ὑπὸ Χίωνος τοῦ Μάτειος, ἀνδρὸς μεγαλόφρονος καὶ κοινωνίαν πρὸς αὐτὸν τὴν ἐξ αἵματος ἔχον-

τος, καὶ Λέοντος καὶ Εὐξένωνος καὶ ἑτέρων οὐκ ὀλίγων συνεδυάσθηναι, πληγὴν καιρίαν ἐνεγκεῖν, καὶ τελευτῆσαι πικρῶς ἀπὸ τοῦ τραύματος. ἔθυεν μὲν γὰρ δημοτελῆ θυσίαν ὁ τύραννος· οἱ δὲ περὶ τὸν Χίωνα, ἐπιτήδειον εἶναι τὸν καιρὸν τῇ πράξει νομίσαντες, τῇ τοῦ Χίωνος χειρὶ τὸ ξίφος διὰ τῶν τοῦ κοινοῦ πολεμίου λαγόνων ἐλαύνουσιν. ὁ δέ, πολλῶν αὐτὸν καὶ πικρῶν ἀλγηδόνων καταλεινούντων, καὶ ποσούτων φασμάτων ἐκδειμαινούτωι (εἴδωλα δὲ τὰ φάσματα ἦν ὧν ἐκεῖνος μιαιφόνως ἀνῃρήκει) οὕτω δευτεραῖος τὸν βίον κατέστρεψε· ζήσας μὲν ἔτη η´ καὶ ν´, τούτων δὲ τυραννήσας δυοκαίδεκα. εἶχεν δὲ τὴν περσῶν ἀρχὴν Ἀρταξέρξης τότε, εἶτα καὶ Ὦχος ὁ ταύτην ἐκ παιδὸς ἐκδεξάμενος· πρὸς οὓς καὶ πολλάκις ἔτι ζῶν ὁ Κλέαρχος διεπρεσβεύσατο. οἱ μέντοιγε ἀνῃρηκότες τὸν τύραννον, μικροῦ πάντες οἱ μὲν ὑπὸ τῶν σωματοφυλάκων κατ᾽ αὐτὸν τὸν τῆς ἐπιθέσεως καιρὸν οὐκ ἀγεννῶς ἀνδρισάμενοι κατεκόπησαν· οἱ δὲ καὶ ὕστερον συλληφθέντες καὶ πικραῖς τιμωρίαις ἐγκαρτερήσαντες, ἀνῃρέθησαν. Σάτυρος δὲ ὁ τοῦ τυράννου ἀδελφός, οἷα δὴ ἐπίτροπος καταλειφθεὶς τῶν παίδων, Τιμοθέου καὶ Διονυσίου, τὴν ἀρχὴν ὑποδέχεται· ὃς ὠμότητι μὲν οὐ Κλέαρχον, ἀλλὰ καὶ πάντας τυράννους ὑπερέβαλεν. οὐ μόνον γὰρ τοὺς ἐπιβεβουλευκότας τῷ ἀδελφῷ ἐτιμωρήσατο, ἀλλὰ καὶ τῶν τέκνων ἃ μηδὲν συνειδόσι τοῖς γεγονηκόσιν, οὐδὲν ἀνεκτότερον ἐδηλήσατο· καὶ πολλοὺς ἀναιτίους, κακούργων δίκας ἀπήτησεν. τοῦτον δὲ καὶ μαθημάτων τῶν τε κατὰ φιλοσοφίαν καὶ τῶν παντὸς ἐλευθερίου ἄλλου παντελῶς ὑπάρξαι ἀπαράδεκτον· καὶ νοῦν δὲ πρὸς τὰς μιαιφονίας μόνον ὀξύρροπον ἔχοντα, φιλάνθρωπον μηδὲν μηδὲ ἥμερον μήτε μαθεῖν ἐθελῆσαι, μήτε φῦναι ἐπιτήδειον. ἀλλὰ πάντα μὲν ἦν ἔσχατος κάκιστος, εἰ καὶ χρόνος αὐτῷ κόρον λαβεῖν τῶν ἐμφυλίων αἱμάτων καὶ τῆς μιαιφονίας ὑπεξέλυεν· ἐπὶ δὲ τῇ φιλαδελ-

φία τὸ πρῶτον ἦν εἴκατο. τὴν γὰρ ἀρχὴν τοῖς τοῦ ἀδελφοῦ παισὶν ἀρετηρέαστον σωτηρῶν ἐπὶ τοσοῦτον τῆς αὐτῆς κηδεμονίας λόγον ἔθετο, ὡς καὶ γυναικὶ συνὼν, καί τοι τελείαν στεργομένην, μὴ διασχέσθαι παιδοποιῆσαι, ἀλλὰ μηχανῇ πάσῃ, γονῆς στέρησιν ἑαυτῷ δικάσαι, ὡς ἂν μηδόλως ὑπολίποι τινὰ ἐφεδρεύοντα τοῖς τοῦ ἀδελφοῦ παισίν. οὗτος ἔτι ζῶν καὶ γήρᾳ βαρυνόμενος, Τιμοθέῳ τῷ πρεσβυτέρῳ τῶν παίδων τοῦ ἀδελφοῦ, ἐγχειρίζει τὴν ἀρχὴν, καὶ μετ᾽ χρόνον οὐ πολὺν, αἰτιάτῳ πάθει καὶ χαλεπωτάτῳ συσχεθείς. καρκίνωμα γὰρ μεταξὺ βουβῶνός τε καὶ ὄσχεου ὑποφυὲν, τὴν νομὴν πρὸς τὰ ἔνδον ἐπεδίδου πικρότερον· ἐξ οὗ ἰχῶρες ἀνασπωμένης τῆς σαρκὸς ἐξέρρεον βαρὺ καὶ δύσοιστον πνεῦσαι, ὡς μηκέτι μήτε τὸ ὑπηρετούμενον, μήτε τοὺς ἰατροὺς τὸ τῆς σηπεδόνος στέγειν δυσῶδες καὶ ἀνυπόστατον. καὶ συνεχεῖς δὲ ὀδύναι καὶ δριμεῖαι ὅλον τὸ σῶμα κατέτεινον· ὑφ᾽ ὧν ἀγρυπνίαις τε καὶ σπασμοῖς ἐξεδίδοτο. ἕως προκόψασα μέχρις αὐτῶν τῶν σπλάγχνων τοῦ πάθους ἡ νομὴ, τοῦ βίου ἀπέρρηξεν. ἐδίδου μὲν καὶ οὗτος, ὥσπερ καὶ Κλέαρχος, τελευτῶν, τοῖς ὁρῶσιν ἐννοεῖν, δίκας ἀπαιτεῖσθαι ὧν ὠμῶς τε καὶ παρανόμως τοὺς πολίτας διέθεσαν. πολλάκις γὰρ αὐτὸν φησὶν ἐν τῇ νόσῳ, τὸν θάνατον ἐπελθεῖν αὐτῷ κατευχόμενον, μὴ τυχεῖν, ἀλλὰ συχναῖς ἡμέραις τῇ πικρᾷ καὶ βαρείᾳ καταδαπανώμενον νόσῳ, οὕτως ἀποτῖσαι τὸ χρεών· ἔτη μὲν βιώσαντα ε᾽ καὶ ξ᾽· ὧν ἡ τυραννὶς εἶχεν ζ᾽. Ἀγησίλαος δὲ τηνικαῦτα Λακεδαιμονίων ἐβασίλευεν.

ὁ δὲ Τιμόθεος παραλαβὼν τὴν ἀρχὴν, οὕτω ταύτην ἐπὶ τὸ πρᾳότερον καὶ δημοκρατικώτατον μετερρύθμιζεν, ὡς μηκέτι τύραννον ἀλλ᾽ εὐεργέτην αὐτὸν, οἷς ἔπραττεν, καὶ σωτῆρα ὀνομάζεσθαι. τά τε γὰρ χρέα τοῖς δανεισταῖς παρ᾽ ἑαυτοῦ διελύσατο, καὶ τοῖς χρῄζουσι πρὸς τὰς ἐμπορείας καὶ τὸν ἄλλον βίον τόκου ἄνευ ἐπήρκεσεν. καὶ τῶν δεσμωτηρίων οὐ τοὺς ἀνευθύνους

μόνον, ἀλλὰ καὶ τοῖς ἐν αἰτίαις ἠφίει· καὶ δικαστὴς ἀκριβὴς ἦν ὁμοῦ καὶ φιλάνθρωπος, καὶ τὰ ἄλλα χρηστός· καὶ τὰς ὑποθέσεις οὐκ ἀπισούμενος. ἐφ' οἷς καὶ τὸν ἀδελφὸν Διονύσιον τά τε ἄλλα πατρικῶς περιεῖπεν, καὶ κοινωνὸν μὲν εἶχεν αὐτίκα τῆς ἀρχῆς, ἐχομένως δέ, καὶ διάδοχον. οὐ μὴν ἀλλὰ γὰρ καὶ πρὸς τὰς πολεμικὰς τῶν πράξεων ἀνδρείως ἐφέρετο. μεγαλόφρων δὲ ἦν καὶ γενναῖος σῶμα καὶ ψυχήν, ἀλλὰ καὶ πρὸς τὰς τῆς μάχης διαλύσεις ἀγνώμων τε καὶ οὐκ ἄχαρις· πράγματα μὲν συνιδεῖν ἱκανός, ἐξικέσθαι δὲ πρὸς τὰ συνεωραμένα δραστήριος· οἰκτίρμων τε τὸ ἦθος καὶ χρηστός. καὶ τῇ μὲν ἀτολμίᾳ δεινῶς ἀπότομος, τῇ δὲ μετριότητι φιλάνθρωπός τε καὶ μειλίχιος. διὸ σφόδρα μὲν περιὼν τοῖς πολεμίοις φοβερὸς ἦν, καὶ πάντες αὐτὸν κατορρώδουν ἐπειδὰν ἀπεχθάνοιτο, τοῖς δ' ἀρχομένοις γλυκύς τε καὶ ἥμερος. ἔνθεν καὶ τελευτῶν, πόθον αὐτοῦ κατέλιπε πολύν· καὶ πένθος ἤγειρε τῷ πόθῳ ἐνάμιλλον. ὁ δὲ τούτου ἀδελφὸς Διονύσιος καίει μὲν τὸ σῶμα πολυτελῶς, σπένδει δὲ αὐτῷ καὶ τὰ ἀπὸ βλεφάρων δάκρυα καὶ τὰς ἀπὸ τῶν σπλάγχνων οἰμωγάς· ἐπιτελεῖ δὲ καὶ ἀγῶνας ἱππικούς· οὐχ ἱππικοὺς δὲ μόνον, ἀλλὰ καὶ σκηνικούς, καὶ θυμελικοὺς καὶ γυμνικούς· τοὺς μέν, αὐτίκα, τοὺς δὲ λαμπροτέρους, καὶ ὕστερον. ἀλλὰ ταῦτα μὲν ἡ θ' καὶ ι' τοῦ Μέμνονος ὡς ἐν ἐπιδρομῇ φάναι διαγράφει ἱστορία.

Τὴν δὲ ἀρχὴν διαδεξάμενος Διονύσιος, ηὔξησε ταύτην, Πέρσας ἐπὶ Γρανικῷ τοῦ Ἀλεξάνδρου μάχῃ καταγωνισαμένου, καὶ παρασχόντος ἄδειαν τοῖς βουλομένοις αὔξειν τὰ ἑαυτῶν, τῆς πρὶν ἐμποδὼν πᾶσιν ἱσταμένης περσικῆς ἰσχύος, ὑποστελλομένης. ὕστερον δὲ ποικίλας ὑπέστη περιστάσεις, μάλιστά γε τῶν τῆς Ἡρακλείας φυγάδων πρὸς Ἀλέξανδρον, περιφανῶς ἤδη τῆς Ἀσίας κρατοῦντα, διαπρεσβευομένων,

καὶ κάθοδον καὶ τὴν τῆς πόλεως πάτριον δημοκρατίαν ἐξαιτουμένων. δι' ἃ παρ' ἐγγὺς μὲν κατέστη τοῦ ἐκπεσεῖν τῆς ἀρχῆς, καὶ ἐξέπεσεν ἄν, εἰ μὴ συνέσει πολλῇ καὶ ἀγχινοίᾳ καὶ τῇ τῶν ὑπηκόων εὐνοίᾳ, καὶ θεραπείᾳ Κλεοπάτρας, τοὺς ἀπειληθέντας αὐτῷ πολέμους διέφυγεν· τὰ μὲν, ὑπείκων καὶ τὴν ὀργὴν ἐκλύων καὶ μεθοδεύων ταῖς ἀναβολαῖς, τὰ δὲ, ἀντιπαρασκευαζόμενος. ἐπεὶ δὲ ἢ θανάτῳ ἢ νόσῳ κατὰ Βαβυλῶνα γεγονὼς Ἀλέξανδρος τὸν βίον διέδραμεν, εὐθυμίας μὲν ὁ Διονύσιος ἄγαλμα, τὴν ἀγγελίαν ἀκούσας, ἱδρύσατο· παθὼν τῇ πρώτῃ προσβολῇ τῆς φήμης ὑπὸ τῆς πολλῆς χαρᾶς ὅσα ἂν ἡ σφόδρα λύπη δράσειεν. μικροῦ γὰρ παρείματεῖς, εἰς τὸ πεσεῖν ὑπήχθη, καὶ ἄλλοις ὤφθη γινόμενος. Περδίκκα δὲ τῶν ὅλων ἐπιστάντος, οἱ μὲν τῆς Ἡρακλείας φυγάδες, πρὸς τὰ αὐτὰ καὶ τοῦτον παρώξυνον, Διονύσιος δὲ ταῖς ὁμοίαις μεθόδοις χρώμενος, ἐπὶ ξυροῦ ἀκμῆς, πολλοὺς κινδύνους κατ' αὐτοῦ συστάντας πάντας διέδρασεν. ἀλλ' ὁ μὲν Περδίκκας ὑπὸ τῶν ἀρχομένων, μοχθηρὸς γεγονὼς, ἀνῄρηται, καὶ αἱ τῶν φυγάδων ἐλπίδες ἐσβέννυντο· Διονυσίῳ δὲ πανταχόθεν τὰ πράγματα πρὸς τὸ εὐδαιμονέστερον μετεβάλλοντο. ἡ δὲ πλείστη ῥοπὴ τῆς εὐδαιμονίας, ὁ δεύτερος αὐτῷ κατέστη γάμος. ἠγάγετο μὲν γὰρ Ἄμαστριν· αὕτη δὲ ἦν Ὀξάθρου θυγάτηρ· ἀδελφὸς δὲ ἦν οὗτος Δαρείου, ὃν καθελὼν Ἀλέξανδρος, Στάτειραν τὴν αὐτοῦ θυγατέρα, γυναῖκα ἠγάγετο· ὡς εἶναι τὰς γυναῖκας ἀλλήλαις ἀνεψιάς, ἔχειν δέ τι πρὸς ἑαυτὰς καὶ φίλτρον ἐξαίρετον, ὃ τὸ συντρόφους ὑπάρξαι, ταύταις ἐνέφυσεν. ἀλλὰ ταύτην τὴν Ἄμαστριν Ἀλέξανδρος, ὅτε Στατείρᾳ συνήπτετο, Κρατερῷ (τῶν φιλουμένων ἦν οὗτος ὡς μάλιστα) συναρμόζει· Ἀλεξάνδρου δὲ ἐξ ἀνθρώπων ἀποπτάντος, καὶ Κρατεροῦ πρὸς Φίλαν τὴν Ἀντιπάτρου ἀποκλίναντος, γνώμῃ τοῦ λιπόντος, Διονυσίῳ ἡ Ἄμαστρις συνοικίζεται. ἐξ οὗ ἐπὶ μέγα ἡ

ἀρχὴ

ἀρχὴ αὐτῷ διήρθη, πλούτου τε περιβολῇ τῇ διὰ τῆς ἐπιγαμίας προστεθείσῃ καὶ ἰδίᾳ φιλοκαλίᾳ. καὶ γὰρ καὶ τὴν τοῦ Διονυσίου πᾶσαν ἐπισκευὴν τοῦ σικελίας τυραννήσαντος, αὐτὸν ἐπῆλθεν ἐξωνήσασθαι, τῆς ἀρχῆς ἐκείνου διαφθαρείσης. οὐ ταῦτα δὲ μόνον αὐτῷ τὴν ἀρχὴν ἐπεκράτυνεν, ἀλλὰ καὶ ἡ πραγία, καὶ εὔνοια τῶν ὑπηκόων, καὶ πλλῶν ὧν οὐκ ἐκράτει πρότερον, ἡ κυριότης. καὶ Αντιγόνῳ δὲ τὴν ἀσίαν κατέχοντι λαμπρῶς συμμαχήσας, ὁπότε τὴν κύπρον ἐπολιόρκει, τὸν ἀδελφιδοῦν Πτολεμαῖον, (στρατηγὸς δὲ οὗτος ἦν τῶν περὶ τὸν ἑλλήσποντον) φιλοτιμίας ἀμοιβὴν εὕρατο παρὰ Αντιγόνῳ, γαμβρὸν λαβεῖν ἐπὶ θυγατρί. ἡ δὲ παῖς ἐκ προτέρων ἦν αὐτῷ γεγενημένη γάμων. οὕτως γοῦν εἰς μέγα δόξης ἀνελθὼν, καὶ τὸν τύραννον ἀπαξιώσας, τὸ βασιλέως ἀπέλαβεν ὄνομα. φόβων δὲ καὶ φροντίδων ἐλευθερώσας, καὶ ταῖς καθημεριναῖς τρυφαῖς ἐνδιαιτηθεὶς, ἐξωγκώθη τε τὸ σῶμα, καὶ τοῦ κατὰ φύσιν πολὺ πλέον ἐλιπάνθη. ὑφ᾽ ὧν οὐ μόνον περὶ τὴν ἀρχὴν ῥαθύμως εἶχεν, ἀλλὰ καὶ ἐπειδὰν ἀφυπνώσειεν, βελόναις μακραῖς τὸ σῶμα διαπειρόμενος, (τοῦτο γὰρ ἄκος μόνον τοῦ κάρου καὶ τῆς ἀναισθησίας ὑπελείπετο) μόλις τῆς κατὰ τὸν ὕπνον καταφορᾶς ἐξανίστατο. τεκνωσάμενος δὲ γ΄ παῖδας ἐκ τῆς Αμάστριος, Κλέαρχον, Οξάθρην, καὶ θυγατέρα ὁμώνυμον τῇ μητρὶ, μέλλων τελευτᾷν, ταύτην τῶν ὅλων δέσποιναν καταλιμπάνει, καὶ τῶν παίδων κομιδῇ νηπίων ὄντων, σὺν τισιν ἑτέροις, ἐπίτροπον. βιοὺς μὲν ἔτη ε΄ καὶ ν΄, ὧν ἐπὶ τῆς ἀρχῆς λ΄ ἐναγωνίζετο. πρᾳότατος ἐν αὐτῇ, ὡς εἴρηται, γεγονὼς, καὶ τὸ χρηστὸς ἐπίκλησιν ἐκ τῶν ἠθῶν ἀνελκάμενος, καὶ πολὺν πόθον τοῖς ὑπὸ χεῖρα καὶ πένθος λιπών. οὐδὲν δὲ ἧττον καὶ μετὰ τὴν ἐκείνου ἐξ ἀνθρώπων ἀναχώρησιν, τὰ τῆς πόλεως πρὸς εὐδαιμονίαν ἐφέρετο, Αντιγόνου τῶν τε παίδων

Διονυσίου καὶ τῶν πολιτῶν οὐ παρέργως προνοουμένου· ἐκείνου δὲ πρὸς ἕτερα τὰς φροντίδας τρεψαμένου, Λυσίμαχος πάλιν τὴν περὶ Ἡράκλειαν καὶ τῶν παίδων ἐπιμελεῖτο. ὃς καὶ Ἄμαστριν ποιεῖται γυναῖκα· καὶ κατ' ἀρχὰς μὲν, λίαν ἔστερξεν, πραγμάτων δὲ αὐτῷ περισπεσόντων, αὐτὴν μὲν ἐν Ἡρακλείᾳ λείπει, αὐτὸς δ' εἴχετο τῶν ἐπειγόντων. εἰς σάρδεις δὲ μετ' οὐ πολὺν χρόνον, τῶν πολλῶν πόνων ῥαΐσας, μετεπέμψατο ταύτην, καὶ ἔστεργεν ὁμοίως. ὕστερον δὲ πρὸς τὴν θυγατέρα Πτολεμαίου τοῦ φιλαδέλφου (Ἀρσινόη δ' ἦν ὄνομα) τὸν ἔρωτα μεταθεὶς, διαζυγῆναι τὴν Ἄμαστριν αὐτοῦ παρεῖχεν αἰτίαν, καὶ καταλιποῦσα τοῦτον, καταλαβεῖν τὴν Ἡράκλειαν. ἐγείρει δὲ αὕτη πραγματευομένη καὶ συνοικίζει πόλιν Ἄμαστριν. Κλέαρχος δὲ ἀνδρωθεὶς ἤδη, τῆς πόλεως ἦρχεν, καὶ πολέμοις οὐκ ὀλίγοις, τὰ μὲν συμμαχῶν ἄλλοις, τὰ δὲ καὶ τοῖς ἐπιφερομένοις αὐτῷ, ἐξητάζετο. ἐν οἷς καὶ κατὰ γετῶν Λυσιμάχῳ στρατευόμενος, ἑάλω τε σὺν αὐτῷ, καὶ ἀνεθέντος τῆς αἰχμαλωσίας ἐκείνου, καὶ αὐτὸς ὕστερον τῇ Λυσιμάχου προνοίᾳ ἀφίετο. οὗτος ὁ Κλέαρχος ἅμα τῷ ἀδελφῷ τῆς ἀρχῆς καταστάντες διάδοχοι, πρὸς μὲν ἡμερότητα καὶ χρηστότητα πολὺ τοῦ πατρὸς ἐλάττους τοῖς ὑπηκόοις ἀπέβησαν· εἰς ἔκθεσμον δὲ καὶ μιαρώτατον ἔργον ἐξέπεσον. τὴν γὰρ μητέρα μηδὲν περὶ αὐτοὺς μέγα πλημμελήσασαν, μηχανῇ δεινῇ καὶ κακουργίᾳ ἐπιβᾶσαν νηὸς, θαλάσσῃ ἀποπνιγῆναι κατειργάσαντο. δι' ἣν αἰτίαν καὶ Λυσίμαχος ὁ πολλάκις ῥηθεὶς, μακεδονίας δὲ ἐβασίλευεν, εἰ καὶ τὴν Ἄμαστριν διὰ τὴν συνάφειαν Ἀρσινόης λιπεῖν αὐτὸν παρεσκευάσατο, ἀλλ' οὖν ἔτι προτέρου πόθου φέρων ἐν ἑαυτῷ τὸ ἐμπύρευμα, καὶ τὸ μυσαρὸν καὶ ὠμὸν τῆς πράξεως οὐκ ἀνασχετὸν ποιούμενος, στεγανώτατα μὲν τὴν αὐτοῦ καλεῖχεν ἔνδον γνώμην, τὴν ἀρχαίαν δὲ φιλίαν πρὸς τοὺς περὶ Κλέαρχον τῷ σχήματι ἐπιδεικνὺς διὰ πολλῶν τε μηχανῶν καὶ τῶν τοῦ

λανθάνειν στρατηγημάτων (κρύψαι γὰρ τὸ βουλευόμενον δεινότατος ἀνθρώπων γεγονέναι λέγεται) ἐν Ἡρακλείᾳ μὲν ὡς ἐπὶ τῷ τῶν δεχομένων συνοίσοντι παραγίνεται, πατρὸς δὲ στοργὴν τῷ προσωπείῳ τοῖς περὶ Κλέαρχον προσδεικνύμενος, ἀναιρεῖ μὲν τοὺς μητροκτόνους, πρῶτον μὲν Κλέαρχον, εἶτα τὸν Ὀξάθρην, μητρικῆς ἀπαιτήσας μιαιφονίας δίκας· καὶ τὴν πόλιν ποιησάμενος ὑπὸ τὴν πρόνοιαν τὴν αὐτοῦ, καὶ τὰ πολλὰ δὲ λαφυραγωγήσας ὧν ἡ τυραννὶς ἠθροίκει χρημάτων, ἄδειάν τε δοὺς δημοκρατεῖσθαι τοὺς πολίτας, οὗ ἐφίεντο, πρὸς τὴν ἰδίαν βασιλείαν ἐστέλλετο. Λυσίμαχος δὲ τὴν ἰδίαν ἀρχὴν καταλαβών, δι᾽ ἐπαίνων μὲν τὴν Ἄμαστριν εἶχεν, ἐθαύμαζε δὲ αὐτῆς τόν τε τρόπον καὶ τὴν ἀρχήν, πρὸς ὄγκον καὶ μέγεθος καὶ ἰσχὺν ὡς ἐκρατύνατο· ἐξαίρων μὲν τὴν Ἡράκλειαν, μέρος δὲ τῶν ἐπαίνων καὶ τὴν Τῖον καὶ τὴν Ἄμαστριν, ἣν ἐπώνυμον ἤγειρεν ἐκείνη, ποιούμενος. καὶ ταῦτα μὲν λέγων, τὴν Ἀρσινόην ἠρέθιζεν, δεσπότιν τῶν ἐπαινουμένων γενέσθαι· ἡ δὲ ἐδεῖτο τυχεῖν ὧν ἐπόθει. καὶ ὁ Λυσίμαχος σεμνύνων τὸ δῶρον, κατ᾽ ἀρχὰς μὲν οὐ προσίετο· ἐκλιπαρηθεὶς δὲ χρόνῳ παρέσχεν. ἦν γὰρ δεινὴ περιελθεῖν ἡ Ἀρσινόη, καὶ τὸ γῆρας ἤδη Λυσίμαχον παρεῖχεν εὐεπιχείρητον. δεξαμένη δ᾽ οὖν ἡ Ἀρσινόη τῆς Ἡρακλείας τὴν ἀρχήν, πέμπει τὸν Κυμαῖον Ἡράκλειτον, ἄνδρα μὲν εὔνουν αὐτῇ, ἀπότομον δὲ ἄλλως, καὶ δεινὸν ἐν βουλευμάτων ἐντρεχείᾳ καὶ ὀξύτητι. ὁ δὲ τῆς Ἡρακλείας ἐπιβάς, τά τ᾽ ἄλλα σφόδρα ἐπιστρόφως τῶν πραγμάτων ἐξηγεῖτο, καὶ πολλοὺς αἰτίαις ὑποβάλλων τῶν πολιτῶν, οὐκ ἐλάττοις ἐτιμωρεῖτο· ὡς πάλιν ἀποβαλεῖν αὐτοὺς τὴν μόλις ἐπιφανεῖσαν εὐδαιμονίαν. ὁ μέντοι Λυσίμαχος περιδρομῇ Ἀρσινόης, τὸν ἄριστον τῶν παίδων καὶ πρεσβύτερον Ἀγαθοκλέα (ἐκ προτέρων δὲ φὺς ἦν αὐτῷ γάμων) κατ᾽ ἀρχὰς μὲν, λανθάνοντι φαρμάκῳ· ἐκείνου δὲ κατὰ πρόνοιαν ἐξεμεθέντος, ἀναιδεστάτῃ διαχειρίζεται γνώμῃ· δεσμωτηρίῳ ἐμβαλὼν κελεύει

κατακοπῆναι, ἐπιβουλὴν αὐτῷ κατασκευασάμενος. ὁ δὲ Πτολεμαῖος, ὃς αὐτόχειρ τοῦ μιάσματος ἐγεγόνει, ἀδελφὸς ἦν Ἀρσινόης, καὶ ἐπώνυμον διὰ τὴν σκαιότητα καὶ ἀπόνοιαν, τὸν κεραυνὸν ἔφερεν. ὁ τοίνυν Λυσίμαχος διὰ τὴν παιδοκτονίαν μῖσος τε δίκαιον παρὰ τῶν ὑπηκόων ἐλάμβανεν, καὶ Σέλευκος ταῦτα πυθόμενος, καὶ ὡς εὐχερὲς εἴη τοῦτον περιελῦσαι τῆς ἀρχῆς, τῶν πόλεων ἀφισταμένων αὐτοῦ, μάχην συνάπτει πρὸς αὐτόν· καὶ πίπτει ἐν τῷ πολέμῳ Λυσίμαχος παλτῷ βληθείς. ὁ δὲ βαλὼν, ἀνὴρ ἡρακλεώτης ἦν, ὄνομα Μαλάκων, ὑπὸ Σελεύκῳ ταττόμενος. πεσόντος δὲ, ἡ τούτου ἀρχὴ προσχωρήσασα τῇ τοῦ Σελεύκου μέρος κατέστη. ἀλλ' ἐνταῦθα μὲν καὶ τὸ ιβ´ τῆς Μέμνονος ἱστορίας λήγει.

Ἐν δὲ τῷ ιγ´ τοὺς ἡρακλεώτας λέγει, πυθομένους τὴν ἀναίρεσιν Λυσιμάχου, καὶ ὡς εἴη ὁ τοῦτον ἀπεκτονὼς, ἡρακλεώτης, τάς τε γνώμας ἀναῤῥώννυσθαι καὶ πρὸς τὴν τῆς ἐλευθερίας ἀνάκτησιν ὀξέως (?) διίζεσθαι πόθον· ἦν δ' καὶ π´ ἔτεσιν ὑπό τε τῶν ἐμφυλίων τυράννων, καὶ μετ' ἐκείνους, ὑπὸ Λυσιμάχου ἀφήρηντο. προσῆλθον οὖν πρότερον Ἡρακλείδῃ, πείθοντες αὐτὸν μὲν ἐκχωρεῖν τῆς πόλεως, οὐκ ἀπαθῆ κακῶν μόνον, ἀλλὰ καὶ λαμπροῖς δώροις ἐφοδιαζόμενον, ἐφ' ᾧ τὴν ἐλευθερίαν ἐκείνοις ἀναλαβεῖν· ὡς δὲ οὐ μόνον οὐκ ἔπειθον, ἀλλὰ καὶ εἰς ὀργὴν ἐκπεσόντα εἶδον, καί τινας αὐτῶν καὶ τιμωρίαις ὑπάγοντα, συνθήκας θέμενοι πρὸς τοὺς φρουράρχους οἱ πολῖται, οἳ τήν τε ἰσοπολιτείαν αὐτοῖς ἔνεμον, καὶ τοὺς μισθοὺς λαβεῖν ὧν ἐστέρηντο, συλλαμβάνουσι τὸν Ἡρακλείδην, καὶ φυλαττόμενον εἶχον ἐπὶ χρόνον· ἐκεῖθεν λαμπρᾶς ἀδείας λαβόντες, τῆς τε ἀκροπόλεως, μέχρις ἐδάφους, τὰ τείχη κατέβαλον, καὶ πρὸς Σέλευκον διεπρεσβεύοντο, τῆς πόλεως ἐπιμελητὴν προστησάμενοι Φώκριτον. Ζιποίτης δὲ ὁ Βιθυνῶν ἐπάρχων, ἐχθρῶς ἔχων ἡρακλεώταις, πρότερον μὲν διὰ Λυσίμαχον, τότε δὲ διὰ Σέλευκον (διάφορος γὰρ ἦν ἑκατέρῳ) τὴν

κατ' αὐτοῦ ἐπιδρομὴν, ἔργα κακώσεως ἀποδεικνὺς, ἐποιεῖτο. οὐ μὴν οὐδὲ τὸ αὐτοῦ στράτευμα, κακῶν ἀπαθεῖς, ἐπεράτιον ἃ τὸ ἐπράτιον· ἔπασχον δὲ καὶ αὐτοὶ ὧν ἔδρων οὐ κατὰ πολὺ ἀνεκτότερα. ἐν τούτῳ δὲ Σέλευκος Ἀφροδίσιον πέμπει διοικητὴν εἴς τε τὰς ἐν φρυγίᾳ πόλεις καὶ τὰς ὑπερκειμένας τοῦ πόντου. ὁ δὲ, διαπραξάμενος ἃ ἐβούλετο καὶ ἐπανιὼν, τὰς μὲν ἄλλων πόλεων ἐν ἐπαίνοις ἦν, ἡρακλεωτῶν δὲ κατηγόρει, μὴ ἀνοικείως ἔχειν τοῖς τοῦ Σελεύκου πράγμασιν. ὑφ' οὗ Σέλευκος παροξυνθεὶς, τούς τε πρὸς αὐτὸν ἀφικομένους πρέσβεις ἀπειλητικοῖς ἐξεφαύλιζε λόγοις, καὶ κατέπληττεν· ἑνὸς τοῦ Χαμαιλέοντος οὐδὲν ὀρρωδήσαντος τὰς ἀπειλὰς, ἀλλὰ φαμένου, Ηρακλῆς καρῶν Σέλευκε (καρῶν δὲ, ὁ ἰσχυρότερος, παρὰ δωριεῦσιν) ὁ δ' οὖν Σέλευκος τὸ μὲν ῥηθὲν οὐ συνῆκεν, ὀργῆς δ' ὡς εἶχεν, καὶ ἀπετρέπετο. τοῖς δὲ οὔτε τὸ ἀναχωρεῖν οἴκαδε, οὔτε τὸ προσμένειν, λυσιτελὲς ἐδόκει. ταῦτα δὲ ἡρακλεῶται πυθόμενοι, τά τε ἄλλα παρεσκευάζοντο, καὶ συμμάχους ἤθροιζον, πρός τε Μιθριδάτην τὸν πόντου βασιλέα διαπρεσβευόμενοι καὶ πρὸς βυζαντίους καὶ χαλκηδονίους. οἱ δὲ περιλειπόμενοι τῶν ἀπὸ ἡρακλείας φυγάδων, Νύμφιδος, καὶ αὐτοῦ ἑνὸς ὑπάρχοντος τούτων, κάθοδον βουλεύσαντος αὐτοῖς, καὶ ῥᾳδίαν εἶναι ταύτην ἐπιδεικνύντος, εἰ μηδὲν ὧν οἱ πρόγονοι ἀπεστέρηντο, αὐτοὶ φανεῖεν διοχλοῦντες ἀναλήψεσθαι· ἔπεισέν τε σὺν τῷ ῥᾴστῳ, καὶ τῆς καθόδου ὃν ἐβούλευσε τρόπον γεγενημένης, οἵ τε καταχθέντες καὶ ἡ δεξαμένη πόλις ἐν ὁμοίαις ἡδοναῖς καὶ εὐφροσύναις ἀνεστρέφοντο, φιλοφρόνως τῶν ἐν τῇ πόλει τούτους δεξιωσαμένων, καὶ μηδὲν τῶν εἰς αὐτάρκειαν αὐτοῖς συντελούντων παραλελοιπότων. καὶ οἱ ἡρακλεῶται τὸν εἰρημένον τρόπον τῆς παλαιᾶς ἀγυιείας τε καὶ πολιτείας ἐπελαμβάνοντο. Σέλευκος δὲ τοῖς κατορθωμένοις κατὰ Λυσιμάχου ἐπαρθεὶς, εἰς τὴν μακεδονίαν διαβαίνειν ὥρμητο, πόθον ἔχων τῆς πατρίδος, ἐξ ἧς σὺν Ἀλεξάν-

δρῳ ἐστράτευτο· κἀκεῖ τοῦ βίου τὸ λεῖπον διανύσαι, γηραιὸς ἤδη ὤν, διανοούμενος, τὴν δὲ ἀσίαν Ἀντιγόνῳ παραθέσθαι τῷ παιδί. Πτολεμαῖος δὲ ὁ Κεραυνός, τῶν Λυσιμάχου πραγμάτων ὑπὸ Σελεύκῳ γεγενημένων, καὶ αὐτὸς ὑπ' αὐτὸν ἐτέλει, οὐχ ὡς αἰχμάλωτος, περιορώμενος, ἀλλ' οἷα δὴ παῖς βασιλέως, τιμῆς τε καὶ προνοίας ἀξιούμενος· οὐ μὴν ἀλλὰ καὶ ὑποσχέσεσι λαμπρυνόμενος, ἃς αὐτῷ Σέλευκος προὔτεινεν, εἰ τελευτήσειεν ὁ γενάμενος, τὴν αἴγυπτον, πατρῴαν οὖσαν ἀρχήν, καταγαγεῖν. ἀλλ' ὁ μὲν τοιαύτης κηδεμονίας ἠξιοῦτο· κακὸν δὲ ἄρα αἱ εὐεργεσίαι οὐδὲν ἐβελτίουν. ἐπιβουλὴν γὰρ συστήσας, προσπεσὼν τὸν εὐεργέτην ἀναιρεῖ, καὶ ἵππου ἐπιβάς, πρὸς λυσιμαχίαν φεύγει· ἐν ᾗ διάδημα περιθέμενος, μετὰ λαμπρᾶς δορυφορίας κατέβαινεν εἰς τὸ στράτευμα, δεχομένων αὐτῶν ὑπὸ τῆς ἀνάγκης, καὶ βασιλέα καλούντων οἳ πρότερον Σελεύκῳ ὑπήκουον. Ἀντίγονος δὲ ὁ Δημητρίου, τὰ συνενεχθέντα μαθών, ἐπὶ μακεδονίαν διαβαίνειν ἐπεχείρει, πεζῷ καὶ νηίτῃ στρατεύματι προφθάσαι σπεύδων τὸν Πτολεμαῖον. ὁ δὲ Πτολεμαῖος τὰς Λυσιμάχου νῆας ἔχων, ἀπήντα καὶ ἀντιπαρετάττετο. ἦσαν δὲ ἐν αὐταῖς ἄλλαι τε καὶ τῆς ἡρακλείας αἱ μετάπεμπτοι, ἑξήρεις τε καὶ πεντήρεις καὶ ἄφρακτοι, καὶ ὀκτήρης μία ἡ λεοντοφόρος καλουμένη, ἡ μεγέθους ἕνεκα καὶ κάλλους ἥκουσα εἰς θαῦμα. ἐν ταύτῃ γὰρ ρʹ μὲν ἄνδρες ἑκατόνστοιχον ἤρεττον, ὡς ωʹ ἐκ θατέρου μέρους γενέσθαι, ἐξ ἑκατέρων δὲ χιλίους καὶ ἑξακοσίους. οἱ δὲ ἀπὸ τῶν καταστρωμάτων μαχησόμενοι, χίλιοι καὶ διακόσιοι, καὶ κυβερνῆται δύο. τῆς οὖν συμβολῆς γενομένης, κρατεῖ Πτολεμαῖος, τὸ ναυτικὸν τρεψάμενος τοῦ Ἀντιγόνου, ἀνδρειότερον τῶν ἄλλων ἀγωνισαμένων αἳ ἦσαν ἐξ ἡρακλεώτιδος. αὐτῶν δὲ τῶν ἡρακλεωτίδων τὸ ἐξαίρετον ἔφερεν ἡ λεοντοφόρος ὀκτήρης. οὕτω κακῶς Ἀντίγονος τῷ στόλῳ πράξας, εἰς τὴν βοιωτίαν ἀνεχώρησεν. Πτολεμαῖος δὲ

ἐπὶ Μακεδονίαν διέβη, καὶ βεβαίως ἔσχε τὴν ἀρχήν. αὐτίκα γοῦν τὴν οἰκείαν μᾶλλον ἐκφαίνων σκαιότητα, Ἀρσινόην μέν, ὡς πάτριον τοῦτο τοῖς αἰγυπτίοις, τὴν ἀδελφὴν γαμεῖ· τοὺς ἐκ Λυσιμάχου δὲ παῖδας αὐτῇ γεγενημένους ἀναιρεῖ. μεθ' οὓς κἀκείνην τῆς βασιλείας ἐξεκήρυξεν· καὶ πολλὰ καὶ παράνομα ἐν δυσὶ διαπραξάμενος ἔτεσι, γαλατικοῦ μέρους τῆς πατρίδος μετανάσταντος διὰ λιμόν, καὶ μακεδονίαν καταλαβόντων, καὶ εἰς μάχην αὐτῷ συναψάντων, ἀξίως τῆς ὠμότητος καταστρέφει τὸν βίον, διασπαραχθεὶς ὑπὸ τῶν γαλατῶν. ζῶν γὰρ ἐλήφθη, τοῦ ἐλέφαντος ἐν ᾧ ὠχεῖτο, βληθέντος καὶ καταβαλόντος αὐτόν. Ἀντίγονος δὲ ὁ Δημητρίου ἡττηθεὶς τῷ ναυτικῷ, Πτολεμαίου δὲ ἀνῃρημένου, τὴν μακεδόνων λαμβάνει ἀρχήν. ὁ δὲ Σελεύκου Ἀντίοχος πολλοῖς πολέμοις, εἰ καὶ μόλις καὶ οὐδὲ πάντας ὅμως ἀνασωσάμενος τὴν πατρῴαν ἀρχήν, πέμπει στρατηγὸν Πατροκλέα σὺν ἐκστρατεύματι εἰς τὴν ἐπὶ τάδε τοῦ Ταύρου. ὁ δὲ Ἑρμογένην προσαιρεῖται τὸ γένος ἀσπένδιον, ὃς ἐπί τε πόλεις ἄλλας καὶ ἐπὶ τὴν ἡράκλειαν ὥρμητο εἰσβαλεῖν. τῶν δὲ ἡρακλεωτῶν πρὸς αὐτὸν διαπρεσβευσαμένων, τῆς χώρας ἀναχωρεῖ, καὶ φιλίαν συντίθεται, ἐπὶ τῆς Βιθυνίας διὰ τῆς φρυγίας τραπόμενος. ἐνεδρευθεὶς δὲ ὑπὸ τῶν βιθυνῶν, διεφθάρη τε αὐτὸς καὶ ἡ σὺν αὐτῷ στρατιά, ἀνδρὸς ἔργα τὸ καθ' ἑαυτὸν εἰς πολεμίους ἐπιδειξάμενος. διὰ ταῦτα δὴ ἐπιστρατεύειν ἐγνωκότος Ἀντιόχου κατὰ βιθυνῶν, ὁ τούτων βασιλεὺς Νικομήδης διαπρεσβεύεται πρὸς ἡράκλειαν, συμμαχίαν αἰτεῖ καὶ τυγχάνει τῆς σπουδῆς, ἐν ὁμοίοις καιροῖς καὶ χρείαις τὴν ἀμοιβὴν ὑποσχόμενος. ἐν τούτῳ δὲ ἡρακλεῶται τήν τε κίερον καὶ τὸ τῖον ἀνεσώσαντο, καὶ τὴν θυνίδα γῆν, πολλὰ τῶν χρημάτων δαπανήσαντες· τὴν δὲ Ἄμαστριν (ἦν γὰρ καὶ αὐτὴ μετὰ τῶν ἄλλων ἀφῃρημένη) καὶ πολέμῳ καὶ χρήμασι βουληθέντες τέως ἀναλαβεῖν αὐτήν, οὐ κατώρθωσαν· τοῦ κατέχοντος αὐτὴν Εὐμένους, Ἀριοβαρζάνῃ τῷ Μιθριδάτου παιδὶ

προῖκα μᾶλλον παραδοῦναι ταύτην, ἢ παρέχουσι χρήματα τοῖς Ἡρακλεώταις, διὰ τὸ τῆς ὀργῆς ὑπαχθέντες ἀλόγιστον. ὑπὸ δὲ τοὺς αὐτοὺς χρόνους ἐκδέχεται τοὺς Ἡρακλεώτας ὁ πρὸς Ζιποίτην τὸν Βιθυνὸν πόλεμος, ὃς τῆς Θυνιακῆς ἐπῆρχεν Θρᾴκης. ἐν ᾧ πολέμῳ πολλοὶ τῶν Ἡρακλεωτῶν γενναίως ἀνδρισάμενοι κατεκόπησαν· καὶ νικᾷ μὲν κατὰ κράτος ὁ Ζιποίτης, συμμαχίδος δὲ δυνάμεως τοῖς Ἡρακλεώταις ἐπελθούσης, φυγῇ τὴν νίκην καταισχύνει. οἱ δὲ ἡττημένοι, τοὺς σφετέρους νεκροὺς ἀδεῶς ἀναλαβόντες καὶ καύσαντες, εἶτα καὶ πάντων κύριοι περὶ ὧν ἦν ὁ πόλεμος, καταστάντες, καὶ τὰ ὀστᾶ τῶν ἀνῃρημένων ἀνακομίσαντες εἰς τὴν πόλιν, ἐπιφανεστάτῳ τῶν ἀριστέων ἔθαψαν μνήματι. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους, Ἀντιόχῳ τῷ Σελεύκου καὶ Ἀντιγόνῳ τῷ Δημητρίου μεγάλων ἑκατέρωθεν στρατευμάτων ἀντιπαραταττομένων, κινεῖται ὁ πόλεμος καὶ χρόνον συχνὸν κατέτριψεν· συνεμάχει δὲ τῷ μὲν ὁ τῆς Βιθυνίας βασιλεὺς Νικομήδης, Ἀντιόχῳ δὲ πολλοὶ ἕτεροι. οὔπω δὲ συρραγεὶς Ἀντίοχος Ἀντιγόνῳ, τὸν πρὸς Νικομήδην χειρίζεται πόλεμον. ὁ δὲ Νικομήδης ἀλλαχόθεν τε δυνάμεις ἀθροίζει, καὶ συμμαχεῖν πρὸς Ἡρακλεώτας διαπρεσβευσάμενος, τριήρεις τρισκαίδεκα συμμάχους λαμβάνει· καὶ λοιπὸν ἀντικαθίσταται τῷ τοῦ Ἀντιόχου στόλῳ. ἐπὶ χρόνον δέ τινα ἀντικαταστάντες ἀλλήλοις, οὐδέτεροι μάχης ἦρξαν, ἀλλ' ἄπρακτοι διελύθησαν. ἐπεὶ δὲ Γαλάται πρὸς τὸ Βυζάντιον ἧκον καὶ τὴν πλείστην αὐτοῦ ἐδῄωσαν, τῷ πολέμῳ ταπεινωθέντες οἱ ἐν Βυζαντίῳ πέμπουσι πρὸς τοὺς συμμάχους, δεόμενοι ὠφελείας. καὶ παρέσχον μὲν πάντες ὡς εἶχον ἰσχύος, παρέσχον δὲ καὶ οἱ τῆς Ἡρακλείας. τοσοῦτον γὰρ ἡ πρεσβεία ᾔτει, χρυσοῖς χιλίοις. μετ' οὐ πολὺ δὲ Νικομήδης τοῖς Γαλάταις, οἷς ἡ καταδρομὴ τῶν Βυζαντίων ἐγεγένητο, πολλάκις μὲν ἐπιχειρήσαντας τὴν Ἀσίαν περαιωθῆναι, τοσαυτάκις δὲ ἀποτυχόντας, ἐκ ἀνεχομένων τῶν περὶ

ξιν βυζαντίων, ἐπὶ συνθήκαις ὅμως παρασκευάζει περαιωθῆναι. αἱ δὲ συνθῆκαι, Νικομήδην μὲν καὶ τοῖς ἐκγόνοις ἀεὶ φίλα φρονεῖν τοὺς βαρβάρους, καὶ τῆς γνώμης τοῦ Νικομήδους χωρὶς, μηδενὶ συμμαχεῖν τῶν πρὸς αὐτοὺς διαπρεσβευομένων· ἀλλ' εἶναι φίλους μὲν τοῖς φίλοις, πολεμίους δὲ τοῖς οὐ φιλοῦσι. συμμαχεῖν δὲ καὶ βυζαντίοις, εἴπου δέοισι· καὶ τιανοῖς δὲ καὶ ἡρακλεώταις καὶ καλχηδονίοις καὶ κιερανοῖς καὶ τισιν ἑτέροις ἐθνῶν ἄρχουσιν. ἐπὶ ταύταις μὲν ταῖς συνθήκαις Νικομήδης τὸ γαλατικὸν πλῆθος εἰς ἀσίαν διαβιβάζει· ὧν προφανεῖς μὲν ἐπὶ τὸ ἄρχειν, ἑπτακαίδεκα τὸν ἀριθμὸν ἦσαν· οἱ δὲ καὶ αὐτῶν τούτων προκεκριμένοι καὶ κορυφαῖοι Λεωννώριος ἦσαν καὶ Λουτούριος. αὕτη οὖν ἡ τῶν γαλατῶν ἡ ἐπὶ τὴν ἀσίαν διάβασις, κατ' ἀρχὰς μὲν ἐπὶ κακῷ τῶν οἰκητόρων παρελθεῖν ἐνομίσθη, τὸ δὲ τέλος ἔδειξεν ἀποκριθὲν πρὸς τὸ συμφέρον. τῶν γὰρ βασιλέων τὴν τῶν πόλεων δημοκρατίαν ἀφελεῖν σπουδαζόντων, αὐτοὶ μᾶλλον ταύτην ἐβεβαίουν, ἀντικαθιστάμενοι τοῖς ἐπιτιθεμένοις. Νικομήδης δὲ κατὰ βιθυνῶν πρῶτον συμμαχούντων αὐτῷ καὶ τῶν ἐξ ἡρακλείας τοὺς βαρβάρους ἐξοπλίσας, τῆς τε χώρας ἐκράτησεν καὶ τοὺς ἐνοικοῦντας κατέκοψεν, τὴν ἄλλην λείαν τῶν γαλατῶν ἑαυτοῖς διανειμαμένων. οὗτοι δὲ πολλὴν ἐπελθόντες χώραν, αὖθις ἀνεχώρησαν, καὶ τῆς αἱρεθείσης αὐτοῖς ἀπετέμοντο, τὴν νῦν γαλατίαν καλουμένην, εἰς τρεῖς μοίρας ταύτην διανείμαντες. καὶ τοὺς μὲν, τρογμοὺς ὀνομάσαντες, τοὺς δὲ, τολοστοβογίους, τοὺς δὲ, τεκτοσάγας. ἐδείμαντο δὲ πόλεις, τρογμοὶ μὲν ἄγκυραν· τολοστοβόγιοι δὲ, ταβίαν· τεκτόσαγες δὲ, πισινοῦντα. ὁ δὲ Νικομήδης εἰς λαμπρὰν εὐδαιμονίαν ἀρθεὶς, πόλιν ἑαυτῷ ὁμώνυμον ἀνεγείρει ἀντικρὺ ἀστακοῦ· τὴν ἀστακὸν δὲ μεγαρέων ᾤκησαν ἄποικοι, ὀλυμπιάδος ισταμένης ιζ΄, ἀστακὸν ἐπίκλην κατὰ χρησμὸν θέμενοι, ἀπό τινος τῶν λεγομένων σπαρτῶν καὶ γηγενῶν τῶν ἀπο-

χρόνων τῶν ἐν Θήβαις, Ἀστακοῦ τὴν κτίσιν, ἀνδρὸς γενναίου καὶ μεγαλόφρονος. αὕτη πολλὰς ἐπιθέσεις παρά τε τῶν ὁμορούντων ὑποστᾶσα, καὶ πολέμοις πολλάκις ἐκτρυχωθεῖσα, ἀθηναίων αὐτὴν μετὰ μεγαρέας ἐπῳκηκότων, ἔληξέ τε τῶν συμφορῶν καὶ ἐπὶ μέγα δόξης καὶ ἰσχύος ἐγένετο, Δυδαλσοῦ τηνικαῦτα τὴν βιθυνῶν ἀρχὴν ἔχοντος. οὗ τελευτήσαντος, ἄρχει Βοτείρας, ζήσας ϛʹ καὶ οʹ ἔτη. τοῦτον διαδέχεται Βᾶς ὁ υἱός, ὃς καὶ Κάλαντον Ἀλεξάνδρου στρατηγόν, καίτοιγε λίαν παρεσκευασμένον πρὸς τὴν μάχην, κατηγωνίσατο, καὶ τῆς βιθυνίας παρεσκεύασε τοὺς μακεδόνας ἀποσχέσθαι. οὕτω βίος μὲν ἐγεγόνει ἐτῶν αʹ καὶ οʹ· ὧν ἐβασίλευσεν νʹ. οὗ παῖς, τῆς ἀρχῆς διάδοχος, Ζιποίτης, λαμπρὸς ἐν πολέμοις γεγονώς, καὶ τοὺς Λυσιμάχου στρατηγούς, τὸν μὲν, ἀνελών, τὸν δὲ ἐπὶ μήκιστον τῆς οἰκείας ἀπελάσας ἀρχῆς· ἀλλὰ καὶ αὐτὸν Λυσίμαχον· εἶτα καὶ Ἀντιόχου τοῦ παιδὸς Σελεύκου ἐπικρατέστερος γεγονώς, τοῦ τε τῆς ἀσίας βασιλεύοντος καὶ τοῦ μακεδόνων· κτίζει πόλιν ὑπὸ τῷ λυπαρῷ ὄρει, τῇ αὐτοῦ κλήσει ἐπώνυμον. οὗτος βιοὺς μὲν ἔτη ἓξ καὶ ἑβδομήκοντα, κρατήσας δὲ τῆς ἀρχῆς ὀκτὼ καὶ τεσσαράκοντα, καταλείπει παῖδας τέσσαρας. τούτων ὁ πρεσβύτερος τῶν παίδων Νικομήδης διαδέχεται, τοῖς ἀδελφοῖς οὐκ ἀδελφὸς ἀλλὰ δήμιος γεγονώς. ἐκρατύνατο μέντοι καὶ οὗτος τὴν βιθυνῶν ἀρχήν· μάλιστά γε τοὺς γαλάτας ἐπὶ τὴν ἀσίαν διαπεραιωθῆναι συναράμενος· καὶ πόλιν, ὡς προείρηται, τὴν αὐτοῦ προσηγορίαν ἀνέστησε φέρουσαν. οὐ πολλῷ δὲ ὕστερον χρόνῳ πόλεμος ἀνερράγη βυζαντίοις πρὸς καλλατιανοὺς (ἄποικοι δὲ οὗτοι ἡρακλεωτῶν ἦσαν) καὶ πρὸς ἰστριανούς, περὶ τόμεως τοῦ ἐμπορίου, ὃ τοῖς καλλατιανοῖς ὅμορον ἦν· μονοπώλιον τοῦτο διανοουμένων κατασκευάσαι τῶν καλλατιανῶν. διεπρεσβεύοντο οὖν πρὸς ἡρακλεώτας ἐπὶ συμμαχίᾳ ἑκάτεροι. οἱ δὲ πολεμικὴν μὲν ῥοπὴν οὐδετέρῳ ἔνεμον μέρει,

διαλλακτηρίους δὲ ἄνδρας ἑκατέροις ἀπέστελλον· κἂν ἄπρακτος αὐτῶν ἡ σπουδὴ τότε γέγονεν. πολλὰ δὲ οἱ τῆς Καλατίδος ὑπὸ τῶν πολεμίων παθόντες, ὕστερον εἰς διαλύσεις ἦλθον, ἀπὸ ταύτης τῆς συμφορᾶς οὐκέτι σχεδὸν ἀναλαβεῖν αὐτοὺς δυνηθέντες. οὐ πολλοῦ δὲ πάνυ ῥυέντος χρόνου, ὁ τῶν βιθυνῶν βασιλεὺς Νικομήδης, ἐπεὶ ὁ μὲν ἐκ προτέρων αὐτῷ γάμων γεγονὼς παῖς Ζιήλας φυγὰς ἦν πρὸς τὸν τῶν ἀρμενίων βασιλέα, ταῖς τῆς μητρυιᾶς Εταζέτας μηχαναῖς ἐλαθεὶς, οἱ δὲ ἐκ ταύτης αὐτῷ γεγονότες ἐνηπίαζον· πρὸς τῷ τελευτᾶν γεγονὼς, κληρονόμους μὲν τοὺς ἐκ τῆς δευτέρας γυναικὸς γράφει παῖδας, ἐπιτρόπους δὲ Πτολεμαῖον καὶ Ἀντίγονον, καὶ τὸν δῆμον τῶν βυζαντίων καὶ δὴ καὶ τῶν ἡρακλεωτῶν καὶ τῶν κιανῶν ἐφίστησιν. ὁ μέντοι Ζιήλας μετὰ δυνάμεως ἣν αὐτῷ τῶν γαλατῶν οἱ τολοστοβόγιοι θάρσους ἐπλήρουν, ἐπὶ τὴν βασιλείαν κατῄει. βιθυνοὶ δὲ τὴν ἀρχὴν σώζειν τοῖς νηπίοις σπουδάζοντες, τὴν μὲν τούτων μητέρα ἀδελφῷ συνοικίζουσι τῷ Νικομήδους, αὐτοὶ δὲ στράτευμα παρὰ τῶν εἰρημένων ἐπιτρόπων λαβόντες, ὑπέμενον τὸν Ζιήλαν. συχναῖς δὲ μάχαις καὶ μεταβολαῖς ἑκάτεροι ἀποχρησάμενοι, τὸ τελευταῖον κατέστησαν εἰς διαλύσεις, ἡρακλεωτῶν ἐν ταῖς μάχαις ἀριστευόντων, κἂν ταῖς συμβάσεσι τὸ συμφέρον καταπραξάντων. διὸ γαλάται ὡς ἐχθρὰν τὴν ἡράκλειαν κατέδραμον, ἕως κάλητος ποταμοῦ· καὶ πολλῆς κύριοι γεγονότες λείας, οἴκαδε ἀνεχώρησαν. βυζαντίοις δὲ Ἀντιόχου πολεμοῦντος, τριήρεσι συνεμάχησαν τεσσαράκοντα οἱ ἡρακλεῶται, καὶ τὸν πόλεμον παρεσκεύασαν μέχρις ἀπειλῶν προκόψαι. συνέβη δὲ μετ' οὐ πολὺ ἐξ ἀνθρώπων Ἀριοβαρζάνην γενέσθαι, παῖδα Μιθριδάτην καταλιπόντα, καὶ ἐν διαφορᾷ πρὸς τοὺς γαλάτας γεγονότα. δι' ἣν αἰτίαν καταφρονήσαντες τοῦ παιδὸς οὗτοι, τὴν αὐτοῦ βασιλείαν ἐσίνοντο.

καὶ ἀπορίας αὐτοὺς καταλαβούσης, ἀνελάμβανον οἱ ἀπὸ τῆς ἡρακλείας, σῖτον εἰς ἀμισὸν πέμποντες, ἐξ ἧς ῥᾷον ἦν τοὺς τοῦ Μιθριδάτου στηγεῖν ἑαυτοὺς, καὶ ἐξακεῖσθαι τὴν ἔνδειαν. διὰ ταῦτα πάλιν οἱ γαλάται εἰς τὴν ἡρακλεῶτιν ἔπεμψαν στράτευμα, καὶ ταύτην κατέτρεχον, μέχρις ἂν οἱ ἡρακλεῶται διεπρεσβεύσαντο πρὸς αὐτούς. Νύμφις δὲ ἦν ὁ ἱστορικὸς ὁ κορυφαῖος τῶν πρέσβεων· ὃς τὸν μὲν στρατὸν ἐν τῷ κοινῷ χρυσοῖς πεντακισχιλίοις, τοὺς δὲ ἡγεμόνας ἰδίᾳ διακοσίοις ὑποθεραπεύσας, τῆς χώρας ἀπαναστῆναι παρεσκεύασεν. Πτολεμαῖος δὲ ὁ τῆς αἰγύπτου βασιλεὺς εἰς ἄκρον εὐδαιμονίας ἀναβὰς, λαμπροτάταις μὲν δωρεαῖς εὐεργετεῖν τὰς πόλεις προήγετο· ἔπεμψε δὲ καὶ τοῖς ἡρακλεώταις ἀρτάβας πυροῦ πεντακοσίας, καὶ νεὼν αὐτοῖς προκοννησίας πέτρας ἐν τῇ ἀκροπόλει Ηρακλέος ἀνεδείματο.

Μέχρι τούτου φθάσας ὁ συγγραφεὺς, εἰς τὴν τῶν ῥωμαίων ἐπικράτειαν τὴν ἐκβολὴν ποιεῖται· ὅθεν τε οὗτοι ἔφυσαν, καὶ ὅνα τρόπον τῆς ἰταλίας ἐνταῦθα κατῴκησαν· ὅσα τε εἰς τὴν τῆς ῥώμης κτίσιν προὔλαβέν τε καὶ ἐπράχθη· καὶ τῶν ἐπαρξάντων αὐτῶν ἐπιτρέχων, καὶ πρὸς οὓς πολέμοις διηγωνίσαντο· καὶ τήν τε τῶν βασιλέων κατάστασιν καὶ τὴν εἰς ὑπάτους τῆς μοναρχίας μεταβολήν· ὅπως τε ὑπὸ γαλατῶν ῥωμαῖοι ἡττήθησαν· καὶ ἧλω ἂν ἡ πόλις, εἰ μὴ Κάμιλος ἐπιβοηθήσας, τὴν πόλιν ἐῤῥύσατο. ὅπως τε ἐπὶ τὴν ἀσίαν Αλεξάνδρῳ διαβαίνοντι, καὶ γράψαντι ἢ κρατεῖν, εἰ ἀνάρχειν δύνωνται, ἢ τοῖς κρείττοσιν ὑπείκειν· στέφανον χρυσοῦν ἀπὸ ἱκανῶν ταλάντων ῥωμαῖοι ἐξέπεμψαν. καὶ ὡς πρὸς ταραντίνους καὶ Πύῤῥον τὸν ἠπειρώτην συμμαχοῦντα τούτοις ἐπολέμησαν· καὶ τὰ μὲν παθόντες, τὰ δὲ κακῶς τοὺς πολεμίους διαθέμενοι, ταραντίνους μὲν ὑπηγάγοντο, Πύῤῥον δὲ τῶν τῆς ἰταλίας ἀπήλασαν. ὅσα τε πρὸς καρχηδονίους καὶ Αννίβαν ῥωμαίοις ἐ-

πράχθη· καὶ ὅσα πρὸς ἴβηρας ἄλλοις τε καὶ Σκιπίωνι κατωρθώθη· καὶ ὡς παρὰ τῶν ἰβήρων βασιλεὺς ψηφισθεὶς, οὐκ ἐδέξατο· ὅπως τε καταπολεμηθεὶς ἔφυγεν Ἀννίβας· καὶ ὡς πέραν τοῦ ἰονίου ρωμαῖοι διέβησαν· καὶ ὡς Περσεὺς ὁ Φιλίππου τὴν μακεδόνων ἀρχὴν ἐκδεξάμενος, καὶ τὰς συνθήκας τὰς πρὸς τὸν αὐτοῦ πατέρα ρωμαίοις γεγενημένας νεότητι κινῶν καταπολεμήθη, Παύλου τὸ κατ' αὐτὸν διαστήσαντος τρόπαιον· ὅπως τε πρὸς Ἀντίοχον τὸν συρίας καὶ κομαγίνης καὶ τῆς ἰουδαίας βασιλέα δυσὶ μάχαις νικήσαντες, τῆς εὐρώπης ἐξέβαλον. Τὰ μὲν οὖν περὶ τῆς ρωμαϊκῆς ἀρχῆς μέχρι τοῦδε διεῖσιν ὁ συγγραφεύς· ἀναλαβὼν δὲ, γράφει ὅπως ἡρακλεῶται διαπρεσβευσάμενοι πρὸς τοὺς τῶν ρωμαίων στρατηγοὺς ἐπὶ τὴν ἀσίαν διαβεβηκότας, ἀσμένως τε ἀπεδέχθησαν, καὶ ἐπιστολῆς φιλόφρονος μὲν ἔτυχον, Ποπλίου Αἰμιλίου ταύτην ἀποστείλαντος, ἐν ᾗ φιλίαν τε πρὸς αὐτοὺς τῆς συγκλήτου βουλῆς ὑπισχνεῖτο καὶ τὰ ἄλλα προνοίας τε καὶ ἐπιμελείας, ἐπειδάν τινος αὐτῶν δέοιντο, μηδεμιᾶς ὑστερεῖσθαι· ὕστερον δὲ καὶ πρὸς Κορνήλιον Σκιπίωνα τὸν τὴν λιβύην ρωμαίοις κτησάμενον διαπέμπουσι πρεσβείαν, τὴν ὡμολογημένην φιλίαν ἐπικυροῦντες. μετὰ ταῦτα δὲ πάλιν, πρὸς τὸν αὐτὸν διαπρεσβεύοντο, διαλλάττειν πρὸς ρωμαίους ἀξιοῦντες τὸν βασιλέα Ἀντίοχον· καὶ ψήφισμα πρὸς αὐτὸν ἔγραψαν, παραινοῦντες αὐτὸν τὴν πρὸς ρωμαίους διαλύσασθαι ἔχθραν. ὁ δὲ Κορνήλιος Σκιπίων ἀντεπιστέλλων τοῖς ἡρακλεώταις, ἐπιγράφει οὕτως, Σκιπίων, στρατηγὸς ἀνθύπατος ρωμαίων, ἡρακλεωτῶν τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν. ἐν ταύτῃ τήν τε πρὸς αὐτοὺς εὔνοιαν ἐπιβεβαιῶν, καὶ ὡς διαλύσαιντο ρωμαῖοι τὴν πρὸς Ἀντίοχον μάχην. τὰ αὐτὰ δὲ Λευκίῳ Πόπλιος Κορνήλιος Σκιπίων ὁ ἀδελφὸς καὶ στρατηγὸς τοῦ ναυτικοῦ, τοῖς ἡρακλεώταις διαπρεσβευσαμένοις ἀντέγραψεν. μετ' οὐ πολὺ δὲ πάλιν, εἰς

μάχῃ Ἀντίοχος ῥωμαίοις κατέστη· καὶ ἀνὰ κράτος ἡττηθεὶς, ἐπὶ συνθήκαις διελύσατο τὸν πόλεμον· αἳ καὶ τῆς ἀσίας αὐτὸν ἁπάσης ἀπεῖργον, καὶ τοὺς ἐλέφαντας καὶ τῶν νηῶν συναφῃροῦντο τὸν στόλον, τῆς κομμαγηνῆς αὐτῷ καὶ τῆς ἰουδαίας εἰς ἀρχὴν ὑπολειπομένων. ἡ δὲ τῶν ἡρακλεωτῶν πόλις πρὸς τοὺς ἐκπεμπομένους παρὰ τῶν ῥωμαίων στρατηγῶν διαδόχους τὰ αὐτά τε διεπρεσβεύετο, καὶ τῆς ὁμοίας ἀπεδεξιοῦτο εὐνοίας καὶ φιλοφρονήσεως· καὶ τέλος, συνθῆκαι προῆλθον ῥωμαίοις τε καὶ ἡρακλεώταις, μὴ φίλους εἶναι μόνον, ἀλλὰ καὶ συμμάχους ἀλλήλοις καθ' ὧν τε καὶ ὑπὲρ ὧν δεηθεῖεν ἑκάτεροι· καὶ χαλκοῖ πίνακες δύο τὰς ὁμολογίας ἴσας καὶ ὁμοίας ἔφερον· ὧν ὁ μὲν παρὰ ῥωμαίοις ἐν τῷ κατὰ τὸ καπιτώλιον ἱερῷ τοῦ διὸς καθηλώθη, ὁ δὲ κατὰ τὴν ἡράκλειαν, καὶ αὐτὸς ἐν τῷ τοῦ διὸς ἱερῷ. Ταῦτα διεξελθὼν ὁ συγγραφεὺς κατὰ τὸ ιγ' καὶ ιδ' τῆς ἱστορίας, εἰς τὴν ιε' εἰσβαλὼν, διηγεῖται ὅπως Προυσίας ὁ βιθυνῶν βασιλεὺς, δραστήριος ὢν καὶ πολλὰ πράξας, μετὰ τῶν ἄλλων καὶ κίερον, πόλιν ἡρακλεωτῶν οὖσαν, ὑφ' ἑαυτὸν ἔθετο τῷ πολέμῳ, ἀντὶ κιέρου προυσιάδα καλέσας. εἷλεν δὲ καὶ τὴν τῖον, καὶ αὐτὴν ὑπήκοον αὐτοῖς οὖσαν, ὥστε ἐκ θαλάσσης εἰς θάλασσαν τὴν ἡράκλειαν περιγράψαι· ἐφ' οἷς κἀκείνην κραταιῶς ἐπολιόρκει· καὶ πολλοὺς μὲν τῶν πολιορκουμένων ἀπέκτεινεν, ἐγγὺς δ' ἂν καὶ ἡ πόλις τοῦ ἁλῶναι κατέστη, εἰ μὴ ἐπὶ τῆς κλίμακος ἀναβαίνων Προυσίας, λίθῳ βαλόντος ἑνὸς τῶν ἀπὸ τῆς ἐπάλξεως, συνετρίβη τὸ σκέλος, καὶ τὴν πολιορκίαν τὸ πάθος διέλυσεν. φοράδην γὰρ ὁ βληθεὶς, οὐκ ἄνευ ἀγῶνος, ὑπὸ τῶν βιθυνῶν ἀνακομισθεὶς, εἰς τὰ οἰκεῖα ἀνέστρεψεν. κἀκεῖ βιοὺς ἔτη οὐ πολλὰ, καὶ χωλὸς καὶ ὢν καὶ καλούμενος, τὸν βίον κατέστρεψεν. οἱ δὲ ὑπὲρ τὸν πόντον γαλάται, οὔπω τῶν ῥωμαίων εἰς τὴν ἀσίαν διαβεβηκότων, πόθον ἔχοντες πεῖραν λαβεῖν τῆς θαλάσσης, περιελεῖν ἐπιχειροῦσι τὴν

ἡράκλειαν· καὶ οὐ χαλεπὸν ἐνόμιζον. πολὺ γὰρ τῆς παλαιᾶς
ῥώμης ὑφεῖτο, καὶ πρὸς τὸ καταφρονούμενον ἀπέρρει. στρα-
τεύουσι δὴ κατ' αὐτῆς ἁπάσαις ταῖς δυνάμεσιν, οὐδὲ αὐ-
τῆς συμμάχων ἀμοιρούσης, ἀλλ' εἰς ὅσα παρεῖχεν ὁ καιρὸς, πα-
ρασκευαζομένης. ἐπολιορκεῖτο μὲν οὖν αὕτη, καὶ χρόνος ἐτρί-
βετο, ὃς τοὺς γαλάτας εἰς ἔνδειαν τῶν ἀναγκαίων συνήλαυνεν.
θυμῷ γὰρ καὶ οὐ παρασκευῇ τῇ δεούσῃ γαλάτης ἀνὴρ τὸν πόλε-
μον διαφέρειν οἶδεν. πρὸς οὖν συλλογὴν τῶν ἐπιτηδείων τὸ
στρατόπεδον ἀπολελοιπότων, ἐκδραμόντες οἱ τῆς πόλεως καὶ
ἀδοκήτοις ἐπιπεσόντες, αὐτό τε εἷλον καὶ πολλοὺς ἀνεῖλον. καὶ
τοὺς ἐπὶ τῆς χώρας σκεδασθέντας, οὐ χαλεπῶς συνελάμ-
βανον· ὡς μηδὲ τὸ γʹ μέρος τοῦ γαλατικοῦ στρατεύματος
εἰς γαλατίαν ἀναστρέψαι. ἐκ δὲ τοῦ κατορθώματος πάλιν εἰς
τὴν προτέραν εὔκλειαν καὶ εὐδαιμονίαν ἐλπίδας ἐλάμβα-
νον ἀναβιῶναι. ῥωμαίοις δὲ πρὸς μάρσους τε καὶ πελιγνοὺς καὶ
μαρρουκίνους (ἔθνη δέ εἰσι ταῦτα ὑπὲρ λιβύης κατῳκημένα
γαδείρων ὅμορα) δυσὶ τριήρεσι καταφράκτοις ἡρακλεῶ-
ται συνεμάχησαν. καὶ συγκατορθώσαντες τὸν πόλεμον, καὶ πολ-
λῶν ἀριστείων ἀξιωθέντες, ἑνδεκάτῳ ἔτει πρὸς τὴν πατρίδα
ἀνεκομίσθησαν. μετὰ ταῦτα δὲ ὁ πρὸς ῥωμαίους βαρὺς Μι-
θριδάτῃ τῷ πόντου βασιλεῖ συνέστη πόλεμος, φαινομένην λα-
βὼν αἰτίαν, τὴν τῆς καππαδοκίας κατάληψιν. ταύτης γὰρ,
δι' ἀπάτης καὶ ὅρκων συμβατηρίων, τὸν ἀδελφιδοῦν Ἀρια-
ράθην συλλαβὼν ὁ Μιθριδάτης, αὐτοχειρίᾳ ἀποσφάξας, ἐκρά-
τησεν. παῖς δὲ ὁ Ἀριαράθης ἐκ τῆς ἀδελφῆς τοῦ Μιθριδάτου Ἀ-
ριαράθῳ γεγένητο. φονικώτατος δ' ἐκ παιδὸς ὁ Μιθριδάτης
ἦν. τὴν γὰρ ἀρχὴν τρισκαιδεκαέτης παραλαβὼν, μετ' οὐ πο-
λὺ τὴν μητέρα κοινωνὸν αὐτῷ παρὰ τοῦ πατρὸς τῆς βασιλείας
καταλειφθεῖσαν, δεσμωτηρίῳ κατασχὼν, βίᾳ καὶ χρόνῳ ἐξανά-
λωσεν· καὶ τὸν ἀδελφὸν ἀπέκτεινεν. κατεστρέψατο δὲ πολέμῳ

καὶ τοὺς περὶ τὸν φᾶσιν βασιλεῖς ἕως τῶν κλιμάτων τῶν ὑπὲρ
τὸν καύκασον, καὶ τὴν ἀρχὴν ηὔξησεν. καὶ ἐπὶ μέγα ἀλαζονείας
ἐξώγκωτο. δι' ἃ μᾶλλον ῥωμαῖοι τὴν αὐτοῦ διάνοιαν ὕποπτον
ποιούμενοι, τοῖς σκυθῶν βασιλεῦσιν ἐψηφίσαντο τὰς πα-
τρῴας αὐτῶν ἀρχὰς ἀποκαταστῆσαι. ὁ δὲ μετρίως μὲν τοῖς
προσταττομένοις ὑπήκουεν, συμμάχους δὲ πάρθους καὶ μήδους
καὶ Τιγράνην ἀρμένιον, καὶ τοὺς σκυθικοὺς βασιλεῖς, καὶ τὸν Ἴ-
βηρα προσεποιεῖτο. προσετέθη δὲ καὶ ἑτέρας τοῦ πολέμου
αἰτίας. τῆς γὰρ ἐν τῇ ῥώμῃ συγκλήτου Νικομήδην τὸν ἐκ Νικομή-
δους καὶ Νύσης, βασιλέα βιθυνίας καθιστώσης, Μιθριδάτην
τὸν χρηστὸν ἐπικληθέντα Νικομήδην ἀντικαθίστη. ἐπεκράτει
δὲ ὅμως ἡ ῥωμαίων κρίσις καὶ ἄκοντος Μιθριδάτου. ὕστερον δὲ
Σύλλα καὶ Μαρίου περὶ τὴν ῥωμαϊκὴν πολιτείαν ἀναρριπι-
σάντων τὴν στάσιν, τέσσαρας μυριάδας πεζῶν καὶ μυρίους ἱπ-
πέας Αρχελάῳ τῷ στρατηγῷ παραδοὺς ὁ Μιθριδάτης, κατὰ
βιθυνῶν ἐκέλευσε στρατεύειν. καὶ κρατεῖ τῆς μάχης συμβαλὼν
Αρχέλαος· φεύγει δὲ καὶ Νικομήδης μετ' ὀλίγων. ταῦτα μα-
θὼν Μιθριδάτης, παραγεγονότος αὐτῷ καὶ τοῦ συμμαχικοῦ,
ἄρας ἀπὸ τοῦ πρὸς τῇ ἀμασίᾳ πεδίου, διὰ τῆς παφλαγονίας ᾔει,
πεντεκαίδεκα μυριάδας στρατὸν ἐπαγόμενος. Μάριος δὲ, τῶν
ἀμφὶ Νικομήδην συστρατευομένων αὐτῷ, μόνῃ τῇ τοῦ Μι-
θριδάτους φήμῃ διασκεδασθέντων, μετὰ ῥωμαίων ὀλίγων
ἀντιπαρατάσσεται Μηνοφάνει τῷ Μιθριδάτου στρατηγῷ, καὶ
ἡττηθεὶς φεύγει, πᾶσαν τὴν δύναμιν ἀποβαλών. ἐμβαλὼν δὲ
σὺν ἀδείᾳ Μιθριδάτης εἰς τὴν βιθυνίαν, τάς τε πόλεις καὶ
τὴν χώραν ἀμαχεὶ κατέσχεν, καὶ τῶν ἄλλων δὲ πόλεων τῶν κατὰ
τὴν ἀσίαν αἱ μὲν ἡλίσκοντο, αἱ δὲ προσεχώρουν τῷ βασιλεῖ.
καὶ μεταβολὴ τῶν ὅλων ἀθρόα καθίστατο, ῥοδίων μόνων πρὸς
ῥωμαίους στεργόντων φιλίαν. δι' ἣν κατ' αὐτῶν Μιθριδάτης
καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν ἐκίνει τὸν πόλεμον. εἰ καὶ τὸ

πλέον

πλέον ῥόδιοι εἶχον· ὡς καὶ αὐτὸν Μιθριδάτην ναυμαχοῦντα ἐγγὺς τοῦ ἁλῶναι ἥκειν. μετὰ δὲ ταῦτα μαθὼν Μιθριδάτης ὡς οἱ κατὰ τὰς πόλεις σποράδες ῥωμαῖοι τῶν παρ' αὐτοῦ διανοουμένων ἐμποδὼν ἵστανται, γράφει πρὸς πάσας, ὑπὸ μίαν ἡμέραν τοὺς παρ' αὐταῖς ῥωμαίους φονεύειν. καὶ πολλοὶ πεισθέντες, τοσοῦτον φόνον εἰργάσαντο ὡς μυριάδας ὀκτὼ ἐν μιᾷ καὶ τῇ αὐτῇ ἡμέρᾳ τὸν διὰ ξίφους ὄλεθρον ὑποστῆναι. ἐρετρίας δὲ καὶ χαλκίδος καὶ ὅλης εὐβοίας τοῖς τοῦ Μιθριδάτου προστεθειμένων, καὶ ἄλλων πόλεων αὐτῷ προσχωρούντων, καὶ μὴν καὶ λακεδαιμονίων ἡττηθέντων, Σύλλαν ἐκπέμπουσιν οἱ ῥωμαῖοι, ἱκανὴν αὐτῷ συνεκπέμψαντες στρατιάν. ὁ δὲ, παραγενόμενος, τῶν πόλεων τὰς μὲν, ἑκουσιότητι μεταβαλλομένας, τὰς δὲ καὶ βίᾳ, κατέσχεν, οὐκ ὀλίγον στράτευμα τῶν ποντικῶν μάχῃ τρεψάμενος. εἷλεν δὲ καὶ τὰς ἀθήνας· καὶ κατέσκαπτο ἂν ἡ πόλις, εἰ μὴ θᾶττον ἡ σύγκλητος ῥωμαίων τὴν τοῦ Σύλλα γνώμην ἀνέκοψεν. συχνῶν δὲ παρατάξεων συνισταμένων, ἐν αἷς τὸ πλεῖον εἶχον οἱ ποντικοί, καὶ συμμεταβαλλομένων τῶν πραγμάτων τοῖς κατορθουμένοις, ἔνθα τοῖς βασιλικοῖς τῆς διαίτης ἐπέστη, ἀσώτως τε πρὸς ταύτην διακειμένοις καὶ ταμιεύειν τὰ κληθέντα μὴ ἐπισταμένοις. καὶ εἰς συμφορὰν ἂν ἐξέπεσον τὴν ἐσχάτην, εἰ μὴ Ταξίλλης ἀμφίπολιν ἑλὼν, καὶ διὰ ταῦτα τῆς μακεδονίας πρὸς αὐτὸν μεταβαλλομένης, ἐκεῖθεν τὴν ἀφθονίαν ἐχορήγησεν τῶν ἐπιτηδείων. οὗτος δὲ καὶ Ἀρχέλαος συμμίξαντες τὰ στρατεύματα, ὑπὲρ τὰς ἓξ μυριάδας τὸ πλῆθος ἦγον. καὶ στρατοπεδεύονται κατὰ τὴν φωκίδα χώραν, ὑπαντιάσοντες τῷ Σύλλᾳ. ὁ δὲ καὶ Λουκίνιον Ορπίνσιον ὑπὲρ τὰς ἓξ χιλιάδας ἄγοντα ἐξ ἰταλίας συμπαραλαβὼν, ἀπὸ συχνοῦ διαστήματος ἀντεστρατοπεδεύετο. ἐπισιτολογίαν δὲ παρὰ τὸ πρέπον τῶν περὶ τὸν Ἀρχέλαον τραπέντων, ἀπροόπτως Σύλλας ἐπιτίθεται τῷ τῶν πολεμίων στρατοπέδῳ· καὶ τοὺς μὲν ἀρρώστους τῶν ἁλόντων αὐτίκα κτείνει, ἐξ ὧν

δὲ φόβον ἐπιθέσεως οὐκ εἶχεν, τούτοις προσιέναι τῷ χωρίῳ, καὶ πυρὰ κελεύει καίειν, ὡς τοὺς ἀπὸ τῆς σιτολογίας ἀφικνουμένους δέχοιντο, μηδεμίαν ὑπόνοιαν παρεχόμενοι τοῦ πάθους. καὶ συνέβη ὡς ἐστρατηγήθη, καὶ λαμπρὰν τὴν νίκην ἔσχον οἱ περὶ τὸν Σύλλαν. χίους δὲ ὡς ῥοδίοις συμμαχήσαντας αἰτιασάμενος ὁ Μιθριδάτης, κατ' αὐτῶν Δορύλαον ἐκπέμπει· ὃς, εἰ καὶ πολλῷ πόνῳ, τὴν πόλιν κατέσχεν· καὶ τὴν μὲν χώραν κατένειμε τοῖς ποντικοῖς, τοὺς δὲ πολίτας πλοίοις ἐμβαλὼν, διέφερεν ἐπὶ τὸν πόντον. ἡρακλεῶται δὲ, ἐπεὶ φιλία αὐτοῖς πρὸς χίους ἦν, ἐν τῷ παράπλῳ τὰς ποντικὰς νῆας αἳ τοὺς αἰχμαλώτους ἦγον, ἐφορμήσαντες αὐταῖς οὐδ' ἀνθισταμέναις (οὐδὲ γὰρ ἐξήρκουν) κατῆγον ἐπὶ τὴν πόλιν. καὶ παραυτίκα τὰ πρὸς τὴν χρείαν χορηγοῦντες ἀφθόνως τοῖς χιώταις, τούτους ἀνελάμβανον· καὶ ὕστερον μεγαλοπρεπῶς δωρησάμενοι, ἐν τῇ πατρίδι ἀποκατέστησαν. ἡ δὲ σύγκλητος Φλάκκον Οὐαλέριον καὶ Φιμβρείαν πέμπει πολεμεῖν Μιθριδάτῃ, ἐπιτρέψασα καὶ Σύλλᾳ συλλαμβάνειν τοῦ πολέμου, ὅμοια φρονοῦντι τῇ συγκλήτῳ· εἰ δὲ μὴ, τὴν πρὸς αὐτὸν πρότερον συνάψαι μάχην. οὗτος κατ' ἀρχὰς μὲν, ποικίλαις ἐπάλαιε συμφοραῖς (λιμόν τε γὰρ καὶ τὰ ἀπὸ τῆς μάχης πταίσματα ἔσχεν) κατώρθωσε μέντοι τὰ πλείω· διὰ δὲ Βυζαντίων ἐπὶ βιθυνίαν διαβαλὼν, κἀκεῖθεν ἐπὶ νίκαιαν, τῆς πορείας ἔστη. ὡσαύτως δὲ καὶ Φιμβρείας ἅμα τοῖς σὺν αὐτῷ διεπεραιώθη. Φλάκκου δὲ δυσχεραίνοντος ὅτι Φιμβρείαν μᾶλλον, ἅτε δὴ φιλανθρώπως ἄρχοντα, τὸ πλῆθος ἄρχειν ἠγάπα, καὶ διαλοιδορουμένου αὐτῷ τε καὶ τῶν στρατιωτῶν τοῖς ἐπιφανεστέροις, δύο τῶν ἄλλων πλέον εἰς ὀργὴν ἐξαφθέντες ἀποσφάττουσιν αὐτόν. ἐφ' οἷς ἡ σύγκλητος κατὰ Φιμβρείου ἠγανάκτησεν· ὅμως οὖν τὴν ἀγανάκτησιν κρύπτουσα, ὑπατείαν αὐτῷ ψηφισθῆναι διεπράξατο. ὁ δὲ, πάσης γεγονὼς ἡγεμὼν τῆς

δυνάμεως, τὰς μὲν, ἑκούσας, τὰς δὲ καὶ βιαζόμενος τῶν πόλεων περιῄγετο. ὁ δὲ τοῦ Μιθριδάτου υἱὸς Ταξίλλην καὶ Διόφαντον καὶ Μένανδρον τοὺς ἀρίστους τῶν στρατηγῶν ἔχων μεθ' ἑαυτοῦ, καὶ πολλὴν ἄγων δύναμιν, τῷ Φιμβρίᾳ ὑπηντίαζεν. τὰ μὲν οὖν πρῶτα, τὸ ἐπικρατέστερον οἱ βάρβαροι ἔφερον· Φιμβρίας δὲ ἀνασώσασθαι στρατηγήματι τὰς ἐκ παρατάξεως ἥττας ἐπινοούμενος (τὸ γὰρ πολέμιον ὑπερεῖχεν πλήθει) ὡς ἐπί τινα ποταμὸν τῶν μαχομένων ἑκατέρα δύναμις ἧκεν, καὶ μέσον ἀμφοῖν τοῦτον ἐποιήσαντο, ὄμβρου περὶ τὸν ὄρθρον ῥαγέντος, ἀπροσδόκητος ὁ τῶν ῥωμαίων στρατηγὸς διαβαίνει τὸν ποταμόν· καὶ ὕπνῳ τῶν πολεμίων ἐν ταῖς σκηναῖς κατεχομένων ἐπιπεσών, μηδ' αἰσθανομένους κατέκτεινεν, ὀλίγων τῶν ἐν ἡγεμονίαις διαπεφευγότων τὸν ὄλεθρον, καὶ τῶν ἱππέων· μεθ' ὧν καὶ Μιθριδάτης ὁ Μιθριδάτου, καὶ πρὸς τὸ πέργαμον πρὸς τὸν πατέρα Μιθριδάτην ἅμα τοῖς συνεξιππασαμένοις διασώζεται. οὕτω δὲ βαρείας τῆς συμφορᾶς καὶ λαμπρᾶς τοῖς βασιλικοῖς συμπεσούσης, αἱ πλεῖσται τῶν πόλεων πρὸς τοὺς ῥωμαίους μετέθεντο. Μαρίου δὲ ἀπὸ τῆς φυγῆς ἀνασωθέντος εἰς τὴν ῥώμην, Σύλλας δεδιὼς (τῆς ἀντιστασιωτῶν γὰρ ἦν ἐκεῖνος) μὴ τῇ ὁμοίᾳ φυγῇ τὴν εἰς αὐτὸν ὕβριν ἀπαιτήσῃ, πρὸς Μιθριδάτην διεπρεσβεύετο, συμβάσεις αὐτῷ τὰς πρὸς ῥωμαίους ὑποβαλλόμενος. τοῦ δὲ καὶ τὴν συμβάσεσιν ἀσμενίσαντος, ἀφικέσθαι τὸν ἐπὶ ταύταις αἰτήσαντος, αὐτὸς προθύμως ἐστέλλετο. οὕτω γοῦν τὴν ἀνὰ μεταξὺ ἀλλήλων προεληλυθότων, δάρδανον αὐτοὺς ἐπὶ τὴν συνθήκαις ὑποδέχεται· καὶ τῶν περὶ αὐτοὺς ὑποχωρησάντων, ὁμολογίαι γίνονται, Μιθριδάτην μὲν ῥωμαίοις ἐκχωρεῖν τῆς ἀσίας, καὶ Βιθυνῶν δὲ καὶ καππαδοκίας ἄρχειν τοὺς ἐκ γένους βασιλέας· βεβαιωθῆναι δὲ Μιθριδάτῃ τοῦ σύμπαντος τὴν βασιλείαν, παρασχεῖν δὲ ἰδίως Σύλλᾳ τριήρεις π' καὶ τάλαντα τρισχίλια, πρὸς τὴν ἰδίαν ἐπὶ τὴν ῥώμην κά-

θοδον· καὶ ῥωμαίους μηδὲν ταῖς πόλεσι μνησικακῆσαι ἀνθ' ὧν μετέσχον εἰς Μιθριδάτην, εἰ καὶ μὴ κατὰ τὰς ὁμολογίας τοῦτο συνέβη. πολλὰς γὰρ ὕστερον τῶν πόλεων ἐδουλώσαντο. Σύλλας μὲν οὖν οὕτω λαμπρῶς εἰς τὴν ἰταλίαν ἀφίκετο, καὶ Μάριος αὖθις τῆς πόλεως ὑπεχώρησεν, καὶ Μιθριδάτης ἀνέστρεψεν οἴκαδε, πολλὰ τῶν διὰ τὴν ἐν ᾗ κατηνέχθη συμφορὰν, ἀποστάντων ἐθνῶν, ἐξ ὑπαρχῆς χειρωσάμενος. παρὰ τῆς συγκλήτου δὲ Μουρήνας ἡγεμὼν πέμπεται, καὶ Μιθριδάτης διαπρεσβεύεται πρὸς αὐτὸν, τὰς πρὸς Σύλλαν ὁμολογίας ἅμα τε προτείνων, καὶ βεβαίους ἀξιῶν εἶναι. ὁ δὲ, μὴ θέμενος τῇ πρεσβείᾳ (καὶ γὰρ καὶ οἱ πρέσβεις, ἕλληνες ὄντες καὶ τὸν βίον φιλόσοφοι, τὸν Μιθριδάτην μᾶλλον διέσυρον ἢ συνίστων) ὥρμητο ἐπὶ τὸν Μιθριδάτην· καὶ τῷ τε καππαδοκίας Ἀριοβαρζάνῃ τὴν ἀρχὴν βεβαιοτέραν ἐποίει, καὶ ἐπὶ ταῖς εἰσβολαῖς τῆς Μιθριδάτου βασιλείας κτίζει πόλιν κίνειαν. ἐν τούτοις ὅ,τε Μουρήνας καὶ ὁ Μιθριδάτης διαπρεσβεύονται πρὸς ἡρακλεώτας, ἀνὰ μέρος ἑκάτερος κατὰ τοῦ ἑτέρου καὶ ἐπὶ συμμαχίᾳ. τῶν μὲν οὖν ῥωμαίων τὴν ἰσχὺν φοβερὰν ἡγοῦντο, ὠρρώδουν δὲ καὶ τὴν γειτνίασιν τοῦ Μιθριδάτου. διὸ ἀποκρίνονται τοῖς παρ' αὐτῶν πρέσβεσιν, ὡς τοσούτων πολέμων ἀναρραγέντων, μόλις ἂν τὴν ἰδίαν τηρεῖν δυνάσθαι, μήτι γε ἑτέροις ἐπικουρεῖν. ἀλλὰ γὰρ Μουρήνᾳ μὲν συνεβούλευον οὐκ ὀλίγοι πρὸς τὴν σινώπην ὁρμᾶν, καὶ περὶ τοῦ βασιλείου κινεῖν τὸν πόλεμον, ὡς εἰ ταύτην ἕλοι, τῶν λοιπῶν κρατήσει ῥᾳδίως· ὁ δὲ Μιθριδάτης πολλῇ δυνάμει κατασφαλισάμενος ταύτην, εἰς αὐτοπρόσωπον πόλεμον καθίστηκει· καὶ πείραις μὲν τὴν κατ' ἀρχὰς ἐπικρατέστερα ἦν τὰ τοῦ βασιλέως, εἶτα εἰς ἀγχώμαλον ἡ μάχη συνεστράφη, καὶ εἰς ὄκνον ἡ μάχη τὸ πρόθυμον περιέστησε τῶν πολεμίων. διὸ καὶ Μιθριδάτης μὲν εἰς τὰ περὶ τὴν φάσιν καὶ τὸν καύκασον ἐτράπετο· Μουρήνας δὲ ἀπῆρεν εἰς τὴν ἀσίαν, καὶ τὰ οἰκεῖα

ἕκαστος διετέθη. μετ' οὐ πολὺ δὲ χρόνον Σύλλας ἐν ῥώμῃ τελευτᾷ· καὶ πέμπουσιν ἡ σύγκλητος ἐπὶ μὲν τὴν βιθυνίαν Αὐρήλιον Κότταν, ἐπὶ δὲ τὴν ἀσίαν Λεύκιον Λεύκολλον, οἷς ἡ ἐντολὴ πολεμεῖν Μιθριδάτῃ. Μιθριδάτης δὲ ἄλλον τε στρατὸν ἰσχυρὸν παρεσκευάζετο, καὶ τριήρεις μὲν υ'· τῶν δὲ μικροτέρων νηῶν πεντηκοντόρων τε καὶ κερκούρων ἀριθμὸς ἦν οὐκ ὀλίγος. Διοφάντῳ δὲ τῷ Μιθάρῳ δύναμιν δοὺς, πέμπει πρὸς τὴν καππαδοκίαν, φρουρὰς ταῖς πόλεσιν ἐγκαθιστάναι· εἰ δὲ Λεύκολλος εἰς τὸν πόντον ἀφίκοιτο, ὑπαντιάζειν, καὶ τῆς πρόσω πορείας ἀπείργειν. αὐτὸς δὲ μεθ' ἑαυτοῦ πεζὸν μὲν στρατὸν ἦγεν, πεντεκαίδεκα μυριάδας· ἱππεῖς δὲ δισχιλίους ἐπὶ ταῖς μυρίαις· ἅρματα δὲ δρεπανηφόρα συνεπῆγεν κ' καὶ ρ', τὰ δὲ τῆς ἄλλης μηχανοποιίας οὐκ ἐνδέουσαν πληθύν. ἠπείγετο δὲ διὰ τῆς τιμωνιτίδος παφλαγονίας εἰς τὴν γαλατίαν· καὶ ἐνναταῖος εἰς τὴν βιθυνίαν ἀφικνεῖται. Λεύκολλος δὲ Κότταν μὲν ἐφορμεῖν κελεύει τῷ καλχηδονίων λιμένι, παντὶ τῷ ναυτικῷ· τὸ δὲ Μιθριδάτου ναυτικὸν παραπλέον τὴν ἡράκλειαν, παρ' αὐτῆς οὐκ ἐδέχθη· ἀγορὰν δὲ μὲν αἰτησαμένων παρέσχον, οἷα δὲ εἰκὸς, ἐπιμιξίας γινομένης, Ἀρχέλαος ὁ τοῦ ναυτικοῦ στρατηγὸς συνέλαβεν Σιλῆνον καὶ Σάτυρον ἐπιφανεῖς τῆς ἡρακλείας ἄνδρας· καὶ οὐκ ἀνῆκεν ἕως ἀνέπεισεν λαβεῖν πέντε τριήρεις συμμαχίδας εἰς τὸν κατὰ τῶν ῥωμαίων πόλεμον. καὶ ἀπὸ ταύτης τῆς πράξεως (ὅπερ καὶ Ἀρχέλαος ἐμηχανᾶτο) τὴν ῥωμαίων ἀπέχθειαν ὁ ἡρακλεώτης δῆμος ἐκτήσατο. δημοσιωνίας δὲ τῶν ῥωμαίων ἐν ταῖς ἄλλαις πόλεσι καθιστώντων, καὶ τὴν ἡράκλειαν διὰ τὴν εἰρημένην αἰτίαν ταύταις ὑπέβαλον. οἱ δὲ δημοσιῶναι πρὸς τὴν πόλιν ἀφικόμενοι, παρὰ τὰ ἔθη τῆς πολιτείας, καὶ ἀργύριον ἀπαιτοῦντες, τοὺς πολίτας ἐλύπουν, ἀρχήν τινα δουλείας τοῦτο νομίζοντας. οἱ δὲ, διαπρεσβεύσασθαι δέον πρὸς τὴν σύγκλητον, ὥστε τῆς δημοσιωνίας ἀπολυθῆναι, ἀναπεισθέντες ὑπό τινος θρασυτάτου τῶν ἐν τῇ πόλει, τοὺς τελώνας ἀφανεῖς ἐποίησαν, ὡς καὶ τὸν θάνατον αὐτῶν

ἀγνοεῖσθαι. πολέμου δὲ ναυτικοῦ κατὰ καλχηδόνα πόλιν ῥω-
μαίοις τε καὶ ποντικοῖς συστάντος, καὶ πεζῆς δὲ δυνάμεως τῆς τε
βασιλικῆς καὶ τῆς ῥωμαϊκῆς εἰς μάχην ἀλλήλαις συῤῥαγεί-
σης (ἐστρατήγει δὲ τῆς μὲν Κόττας, τῆς δὲ Μιθριδάτης) τρέπουσιν
οἱ βαστέρναι κατὰ τὸ πεζὸν τοὺς ἰταλοὺς, καὶ πλεῖστον αὐτῶν φόνον
εἰργάσαντο. τὰ αὐτὰ δὲ καὶ περὶ τὰς ναῦς ἐγένετο· καὶ ὑπὸ μίαν
ἡμέραν γῇ τε καὶ θαλάσσῃ τοῖς ῥωμαίων διελελύμαστο σώμα-
σι, διαφθαρέντων ἐν μὲν τῇ ναυμαχίᾳ ὀκτακισχιλίων, τετρα-
κισχιλίων καὶ πεντακοσίων ἑαλωκότων· τοῦ δὲ πεζοῦ στρατεύματος
ἰταλοὶ μὲν τριακόσιοι καὶ πεντακισχίλιοι, τῶν δὲ Μιθριδατείων,
βαστέρναι μὲν περὶ τριάκοντα, τοῦ δὲ λοιποῦ πλήθους ἑπτακόσιοι.
οὕτως ἀρξάντα τὰ Μιθριδάτεια πάντων τὸ φρόνημα κατεδού-
λου. Λεύκολλος δὲ ἐπὶ τοῦ σαγγαρίου ποταμοῦ στρατοπεδεύων, καὶ
μαθὼν τὸ πάθος, λόγοις ἀνελάμβανεν ἀθυμήσαντας τοὺς
στρατιώτας. τρεπομένου δὲ ἐπὶ κύζικον σὺν μεγάλῳ φρονήματι
Μιθριδάτου, καὶ πολιορκεῖν τὴν πόλιν βουλομένου, Λεύκολλος ἐπα-
κολουθήσας καὶ συμβαλὼν πολέμῳ, νικᾷ τοὺς ποντικοὺς ἀνὰ κρά-
τος· βραχὺ μὲν πλείους μυριάδος ἀνελὼν, τρισχιλίους δὲ καὶ μυ-
ρίους λαβὼν αἰχμαλώτους. τὸ δὲ Φιμβριανὸν στράτευμα
ὑπόπτως ἔχον ὡς διὰ τὸ περὶ Φλάκκον τόλμημα οὐκ ἂν αὐ-
τοὺς ἔπι νομίσειν οἱ ἡγεμόνες εὔνους, ἔπεμπον κρύφα πρὸς Μι-
θριδάτην, αὐτομολίαν ὑπισχνούμενοι. ὁ δὲ ἕρμαιον τὴν πρόσ-
κλησιν ἡγησάμενος, ὡς νὺξ ἐπέβαλεν, Ἀρχέλαον πέμπει βε-
βαιῶσαί τε τὰς ὁμολογίας καὶ τοὺς προσχωρήσαντας ἄγειν. οἱ δὲ
Φιμβριανοὶ, ἐπεὶ τούτοις Ἀρχέλαος παρεγένετο, αὐτὸν μὲν συνέ-
λαβον, τοὺς δὲ σὺν αὐτῷ διεχειρίσαντο. ἐπὶ τούτῳ τῷ τοῦ βασι-
λέως ἀτυχήματι καὶ λιμὸς ἐπιπίπτει αὐτοῦ τῇ στρατιᾷ, καὶ πολ-
λοὺς ἀπώλλυεν. πλὴν οὕτω πολλοῖς παθήμασι κάμνων, κυζίκου
τῆς πολιορκίας τέως οὐκ ἀφίστατο, μετ᾽ ὀλίγον δὲ πολλὰ καὶ παθὼν
καὶ πράξας, ὅμως ἀνάλωτον λιπὼν τὴν πόλιν, ἀνεχώρησεν· οὐ μὴν

πεζοῦ Ἑρμαῖον καὶ Μάριον ἡγεῖσθαι καταστησάμενος, στρατὸν ὑπὲρ τρισμυρίους ἄγοντας· αὐτὸς δὲ διὰ θαλάσσης ποιούμενος τὴν ἀνάζευξιν. ἐπιβαίνοντος δὲ αὐτοῦ τῶν τριήρων, πολλαὶ παθῶν ἰδέαι συνέπιπτον. οἱ γὰρ ἐμβαίνειν μέλλοντες εἰς αὐτάς, τὰς μὲν ἤδη πεπληρωμένας, τὰς δὲ καὶ μελλούσας, κατεῖχον ἐξαρτώμενοι· καὶ παρὰ τὸ πλῆθος τῶν τοῦτο δρώντων, αἱ μὲν κατεδύοντο, αἱ δὲ περιετρέποντο. τοῦτο Κυζικηνοὶ θεασάμενοι ὥρμησαν ἐπὶ τὰ τῶν Ποντικῶν στρατόπεδα, καὶ τοὺς ὑπολειφθέντας καματηροὺς διαφθείροντες, ἔτι παρ' ἣν ὑπολελειμμένον τὸ στρατόπεδον, διήρπαζον. Λεύκολλος δὲ διώξας ἐπὶ τὸν Αἴσηπον ποταμὸν τὸ πεζόν, ἀπροσδοκήτως καταλαμβάνει, καὶ φόνον πολὺν τῶν πολεμίων ποιεῖται. Μιθριδάτης δὲ ἀναλαβὼν ἑαυτὸν ὡς ἠδύνατο, Πέρινθον ἐπολιόρκει. ταύτης δὲ διαμαρτών, ἐπὶ Βιθυνίαν διαπεραιοῦται. ἐπεὶ δὲ καὶ Βάρβας συχνοὺς Ἰταλῶν ἐπάγων ἧκεν, καὶ μὴν καὶ Τριάριος ὁ Ῥωμαίων ἡγεμὼν ἀνασκευασάμενος τῇ Ἀπαμείᾳ πολιορκεῖν ἐπέστη, οἱ Ἀπαμεῖς ἀντισχόντες ὅσα ἠδύναντο, τέλος ἀνοίξαντες τὰς πύλας, τούτοις εἰσεδέξαντο. εἷλον δὲ καὶ Προῦσαν τὴν πόλιν ἡ Ῥωμαίων δύναμις· ὑπὸ δὲ τὸν Ἀσιανὸν Ὄλυμπον διέκειτο αὕτη. ἐκεῖθεν ὁ Τριάριος ἐπὶ Προυσιάδα τὴν ἐπιθαλάσσιον μετὰ τῆς δυνάμεως παραγίνεται. αὕτη δὲ Κίερος τὸ παλαιὸν ἐκαλεῖτο, ἐν ᾗ καὶ ἡ τῆς Ἀργοῦς ἄφιξις λέγεται, καὶ ὁ τοῦ Ὕλα ἀφανισμός, καὶ ἡ τοῦ Ἡρακλέους ἐπὶ τὴν τούτου ἀναζήτησιν πλάνη, καὶ πολλὰ τοιαῦτα ἕτερα. παραγεγονότα δέ, ῥᾳδίως οἱ Προυσαεῖς ἐδέξαντο, τοὺς Ποντικοὺς διωσάμενοι. ἐκεῖθεν ἐπὶ Νίκαιαν φρουρουμένην Μιθριδατείῳ φρουρᾷ παραγίνεται· οἱ δὲ Ποντικοὶ τὸν νοῦν τῶν ἐν Νικαίᾳ συνιδόντες ἐπὶ Ῥωμαίους ἀποκλίνοντα, διὰ τῆς νυκτὸς πρὸς Μιθριδάτην εἰς Νικομήδειαν ἀνεχώρησαν· καὶ Ῥωμαῖοι ἀταλαιπώρως κρατοῦσι τῆς πόλεως. αὕτη δὲ ἡ πόλις ἡ Νίκαια τὴν μὲν κλῆσιν ἄγει ἀπὸ Ναΐδος νύμφης, ὄνομα λαχούσης τὴν Νίκαιαν,

ἔργον δὲ γεγονὼς νικαιέων τῶν μετ' Ἀλεξάνδρου μὲν συστρατευσάντων, μετὰ δὲ τὸν ἐκείνου θάνατον, κατὰ ζήτησιν πατρίδος, ταύτην τε κτισάντων καὶ συνοικισαμένων. ἡ μὲν οὖν Ναῒς ἡ Νίκαια παῖς λέγεται φῦναι Σαγγαρίου τοῦ κατὰ τὴν χώραν δυνάστου καὶ Κυβέλης· παρθενίαν δὲ μᾶλλον ἢ τὴν πρὸς ἄνδρα ποθοῦσα ὁμιλίαν, ἐν ὄρεσι καὶ θήραις τὸν βίον εἶχεν. ταύτης δὲ Διόνυσος μὲν ἤρα, ἐρῶν δὲ, οὐκ ἐτύγχανεν· μὴ τυγχάνων δὲ, μηχαναῖς τὸ λεῖπον τῇ γνώμῃ ἀναπληροῦν ἐπεχείρει. πληροῖ τοίνυν τὴν κρήνην ἀφ' ἧς εἴωθεν ἡ Νίκαια πίνειν, ἐπειδὰν ἀπὸ τῆς θήρας κοπωθείη, ἀντὶ τοῦ ὕδατος, οἴνου· ἡ δὲ, μηδὲν συνειδυῖα, καὶ τὸ εἰωθὸς ποιοῦσα, ἐμφορεῖταί τε τοῦ ἐπιβούλου νάματος, καὶ ὑπηρετεῖ καὶ ἄκουσα τῷ βουλήματι τοῦ ἐραστοῦ. μέθης γὰρ αὐτὴν καὶ ὕπνου λαβόντων, ὅ,τε Διόνυσος αὐτῇ ἐπιμίγνυται, καὶ παῖδας ἐξ αὐτῆς φύει Σάτυρόν τε καὶ ἑτέρους. οἱ δὲ νικαεῖς οἱ τὴν πόλιν ἤγειραν καὶ συνῴκισαν νίκαιαν, εἶχον πατρίδα φωκίδος γείτονα. πρὸς ἣν καὶ πολλάκις στασιάσαντες, ὑπ' αὐτῆς ἐκείνης ὕστερον τὴν πατρίδα ἀφῃρέθησαν, καταστροφὴν ταύτης καὶ ἀφανισμὸν τῶν ἐν τῇ φωκίδι πολλῇ σπουδῇ καταπραξαμένων. ἀλλ' ἡ μὲν νίκαια οὕτω τε τὴν κλῆσιν καὶ τὴν οἰκοδομὴν ἔσχεν, καὶ οὕτως προσεχώρησεν ῥωμαίοις. Μιθριδάτης δὲ ἐν τῇ νικομηδείᾳ διέτριβεν. Κόττας δὲ βουλόμενός τι τῶν προημαρτημένων ἀναλαβεῖν, ἧκεν ἀπὸ χαλκηδόνος ἐν ᾧ ἥττητο πρὸς τὴν νικομήδειαν· καὶ στρατοπεδεύει ν' καὶ ρ' σταδίων τῆς πόλεως ἄποθεν, τὴν συμβολὴν τῆς μάχης ὑπευλαβούμενος. καταλαμβάνει δὲ Κότταν σπουδῇ πολλῇ αὐτόκλητος ὁ Τριάριος, καὶ Μιθριδάτου ὑποχωρήσαντος εἰς τὴν πόλιν, ἑκατέρωθεν ταύτην πολιορκεῖν τὸ ῥωμαϊκὸν παρεσκευάζετο στράτευμα. ἐπεὶ δὲ ὁ βασιλεὺς ἐπυνθάνετο, δυσὶ ναυμαχίαις, τῇ μὲν, περὶ τένεδον, τῇ δὲ, κατὰ τὸν αἴγαιον Λευκόλλου πολεμοῦντος, τοὺς

ποντικοὺς νενικῆσθαι, καὶ οὐκ ἀξιόμαχον αὐτὸν πρὸς τὴν παροῦσαν δύναμιν ῥωμαίων ἡγεῖτο τὴν ἐπίβασιν, ταῖς σόλοις εἰς τὸν ποταμὸν ἀνέπλει· καὶ σφοδρῷ χειμῶνι περιπεσὼν, τινὰς μὲν τῶν τριήρων ἀποβάλλει, αὐτὸς δὲ μετὰ τῶν πλειόνων εἰς τὸν ὕπιον ποταμὸν κατηνέχθη. ἐκεῖ δὲ διὰ τὸν χειμῶνα διατρίβων, Λάμαχον τὸν ἡρακλεώτην, φιλίαν ἔχων πρὸς αὐτὸν παλαιὰν, μαθὼν ἀρχὴν τῆς πολιτείας, πολλαῖς ὑποσχέσεσιν εἷλκεν ὥστε παρασκευάσαι αὐτὸν ἐν τῇ πόλει παραδεχθῆναι. ἔπεμπε δὲ καὶ χρήματα· ὁ δὲ ἀντεδίδου τὴν αἴτησιν· καὶ δημοθοινίαν ἔξω τῆς πόλεως λαμπροτάτην παρασκευασάμενος τοῖς πολίταις, καὶ ταύτῃ μηδὲ τὰς πύλας ἔχειν παρεγγυησάμενος κεκλεισμένας, μεθύσας τε τὸν δῆμον, ἐκ συνθήματος κατ' αὐτὴν ἡμέραν ἐφεστάναι λάθρα παρασκευάζει τὸν Μιθριδάτην· καὶ οὕτως ἡ πόλις, μηδὲ τὴν ἄφιξιν αἰσθομένων τῶν ἡρακλεωτῶν, ὑπὸ χεῖρα Μιθριδάτῃ γίνεται. τῇ ἐπαύριον δὲ συγκαλέσας τὸ πλῆθος ὁ βασιλεὺς, καὶ φιλίοις δεξιωσάμενος λόγοις, καὶ τὴν εὔνοιαν πρὸς αὐτὸν παραινέσας σῴζειν, τετρακισχιλίους τε φρουροὺς ἐγκαταστήσας, καὶ φρούραρχον Κοννακόρικα, προφάσει τοῦ, εἰ ῥωμαῖοι βουληθεῖεν ἐπιβουλεύειν, τῆς πόλεως ἐκείνους ὑπερμαχεῖν, καὶ σωτῆρας εἶναι τῶν ἐνοικούντων· εἶτα δὲ καὶ χρήματα διανείμας τοῖς ἐν αὐτῇ, μάλιστα δὲ τοῖς ἐν τέλει· ἐπὶ τῆς σινώπης ἐξέπλευσεν. Λεύκολλος δὲ καὶ Κόττας καὶ ὁ Τριάριος, οἱ ῥωμαίων αὐτοκράτορες στρατηγοὶ, ἐπὶ τῆς νικομηδείας καθ' ἓν γενόμενοι, ὥρμηντο εἰς τὸν πόντον ἐμβαλεῖν· ἐπεὶ δὲ αὐτοῖς ἡ τῆς ἡρακλείας κατάληψις ἠγγέλθη, ἡ δὲ προδοσία οὐκ ἐγνώσθη, ἀλλὰ τῆς πόλεως ὅλης ἡ ἀπόστασις ἐνομίσθη, Λεύκολλον μὲν ἐδόκει μετὰ τῆς πλείστης δυνάμεως εἰς τὴν καππαδοκίαν διὰ τῆς μεσογείου χωρεῖν ἐπί τε Μιθριδάτην καὶ τὴν πᾶσαν βασιλείαν, Κότταν δὲ ἐπὶ ἡρα-

κλείας· τὸν Τριάριον δὲ, τὸ ναυτικὸν ἀναλαβόντα, περὶ τὸν ἑλλήσποντον καὶ τὴν προποντίδα τὰς ἐπὶ κρήτην καὶ ἰβηρίαν ἀπεσταλμένας Μιθριδατείους ναῦς ὑποστρεφούσας λοχᾶν. Μιθριδάτης δὲ, ταῦτα ἀκούων, παρεσκευάζετο, καὶ διεπρεσβεύετο πρός τε τοὺς σκυθῶν βασιλεῖς, καὶ πρὸς τὸν πάρθον, καὶ πρὸς τὸν γαμβρὸν αὐτοῦ Τιγράνην τὸν ἀρμένιον. ἀλλ' οἱ μὲν ἀπεῖπον· Τιγράνης δὲ ὑπὸ τῆς Μιθριδάτου θυγατρὸς πολλάκις ἐνοχληθεὶς, καὶ ἀναβαλλόμενος, ὅμως ὑπέστη τὴν συμμαχίαν. καὶ Μιθριδάτης διαφόρους πέμπων κατὰ Λευκόλλου στρατηγοὺς, καὶ τῆς συμπλοκῆς ἐπιγινομένης, πολύτροποι μὲν συνέβαινον αἱ μεταβολαὶ, ἐν τοῖς πλείστοις δὲ τὰ ῥωμαίων ὅμως κατώρθου· ἠθύμει μὲν ὁ βασιλεὺς, ἀθροίσας δ' οὖν πεζῶν μὲν τέσσαρας μυριάδας, ἱππεῖς δὲ ὀκτακισχιλίους, ἐξέπεμψεν Διόφαντον καὶ Ταξίλλην ἐπὶ τοῖς προαπεσταλμένοις. τῶν δὲ τοῖς προλαβοῦσι συναφθέντων, κατ' ἀρχὰς μὲν ἀκροβολισμοῖς ἀλλήλων οἱ πολέμιοι καθ' ἑκάστην ὁδὸν ἀπεπειρῶντο· εἶτα ἱππομαχίαι συνέστησαν δύο, ὧν τὴν μὲν ἐνίκων οἱ ῥωμαῖοι, τὴν δευτέραν δὲ οἱ ποντικοί. τριβομένου δὲ τοῦ πολέμου, Λεύκολλος ἀγορὰν ἄξοντας εἰς καππαδοκίαν ἐκπέμπει. καὶ μαθὼν Ταξίλλης καὶ Διόφαντος πεζοὺς ἐκπέμπουσι τετρακισχιλίους καὶ ἱππεῖς δισχιλίους· ἐφ' ᾧ ἐπιθέμενοι ἀφαιρήσονται τοὺς ἀποκομίζοντας τὰς ἀγοράς. καὶ συμβαλόντων ἀλλήλοις, ἐπικρατέστεροι γεγόνασιν οἱ ῥωμαῖοι. πέμψαντος δὲ Λευκόλλου βοήθειαν τοῖς οἰκείοις, τροπὴ γίνεται βαρβάρων περιφανής. καὶ τῇ φυγῇ τούτων ἡ ῥωμαίων δύναμις ὁδηγουμένη ἐπὶ τὸ στρατόπεδον τὸ περὶ Διόφαντον καὶ Ταξίλλην ἧκον· καὶ καρτερᾶς πρὸς αὐτοὺς τῆς μάχης γινομένης, ἐπ' ὀλίγον μὲν ἀντεῖχον οἱ ποντικοὶ, εἶτα τῶν στρατηγῶν πρώτων ἀποχωρούντων, πάντες ἐνέκλιναν. καὶ Μιθριδάτῃ τοῦ πταίσματος οἱ στρατηγοὶ αὐτάγγελοι παρεγένοντο· καὶ πολὺ πλη-

θος τότε τῶν βαρβάρων ἀπώλετο. οὕτω Μιθριδάτῃ τῶν πραγμάτων περιφανῶς ἀποκεκλιμένων, τό τε βασιλίδων γυναικῶν ἡ ἀναίρεσις ἐπεποίητο· καὶ φυγὴν ἐκ τῶν Καβήρων αὐτὸς, ἐν οἷς διέτριβεν, λάθρα τῶν ἄλλων ὑπηκόων, ὁρμὴ γέγονεν. καὶ ἥλω δ' ἂν ἐν τῇ φυγῇ, τῶν Γαλατῶν ἐπιδιωκόντων, καὶ περὶ τὸν φεύγοντα ἀγνοούντων, εἰ μὴ περιτυχόντες ἡμιόνῳ χρυσὸν καὶ ἄργυρον τῶν Μιθριδατείων χρημάτων φερούσῃ, περὶ τὴν ἁρπαγὴν τούτων ἐσχόλασαν. καὶ αὐτὸς εἰς Ἀρμενίαν διασώζεται. Λεύκολλος δὲ ἐπὶ μὲν τὸν Μιθριδάτην Μάρκον Πομπήϊον ἡγεμόνα ἐξέπεμψεν, αὐτὸς δὲ ἐπὶ Καβήρων μεθ' ὅλης ἠπείγετο τῆς δυνάμεως· καὶ τὴν πόλιν περικαθισάμενος, σφᾶς αὐτοὺς παραδεδωκότας τοὺς βαρβάρους ὑποσπόνδους ἔσχεν, καὶ τῶν τειχῶν ἐκυρίευσεν. ἐκεῖθεν δὲ πρὸς τὴν Ἀμισὸν παραγεγονώς, καὶ λόγοις παραινῶν τοῖς ἐν αὐτῇ, Ῥωμαίοις προσχωρεῖν, ἐπεὶ οὐκ ἔπειθεν, ταύτην λιπὼν, εἰς τὴν Εὐπατορίαν μεθίστη τὴν πολιορκίαν· καὶ ῥαθύμως καταγωνίζεσθαι ταύτης προσεποιεῖτο, ὡς ἂν καὶ τοὺς πολεμίους εἰς ὅμοιον ῥαθυμίας ζῆλον ἐκκαλεσάμενος, ἐξ αἰφνιδίου μεταβολῆς κατορθώσῃ τὸ μελετώμενον. ὃ καὶ γέγονεν, καὶ τὴν πόλιν οὕτως εἷλεν τῷ στρατηγήματι. ἄφνω γὰρ κλίμακας ἁρπάσαι κελεύσας τοὺς στρατιώτας, τῶν φυλάκων οὐδὲν τοιοῦτον προσδοκησάντων, ἀλλ' ἐν ὀλιγωρίᾳ διακειμένων, διὰ τῶν κλιμάκων τὸ τεῖχος ὑπερβαίνειν τοὺς στρατιώτας ἐπέτρεψεν. καὶ οὕτως ἥλω Εὐπατορία, καὶ αὐτίκα κατέσκαπτο. μετ' ὀλίγον δὲ καὶ Ἀμισὸς ἑάλω, διὰ τῶν κλιμάκων καὶ αὐτῆς ὁμοίως τῶν πολεμίων ἐπιβάντων τοῖς τείχεσι. καὶ κατ' ἀρχὰς μὲν φόνος τῶν πολιτῶν οὐκ ὀλίγος γέγονεν, ὕστερον δὲ τὸν ὄλεθρον Λεύκολλος ἐπέσχεν, καὶ τὴν πόλιν αὐτοῖς καὶ τὴν χώραν τοῖς διασωθεῖσιν ἀποκατέστησεν, καὶ οἰκειότερον ἐχρῆτο. Μιθριδάτης δὲ πρὸς τὸν γαμβρὸν παρα-

γεγονώς, καὶ συνουσίας τυχεῖν ἀξιῶν, ταύτης μὲν οὐ τυγχάνει, φρουρὰν δὲ τοῦ σώματος παρ' αὐτοῦ λαμβάνει, καὶ τῆς ἄλλης δεξιώσεως μετεῖχεν. ἔπεμψε δὲ καὶ Λεύκολλος πρὸς Τιγράνην, πρεσβευτὴν Ἄππιον Κλώδιον, Μιθριδάτην ἐξαιτῶν. ὁ δὲ οὐκ ἔδωκεν, φήσας τὴν ὑπὸ πάντων ἀνθρώπων, εἰ τῆς γαμετῆς πατέρα προδοίη, διευλαβεῖσθαι μομφήν· ἀλλὰ μοχθηρὸς μὲν ὡς εἴη Μιθριδάτης, καὶ αὐτὸν εἰδέναι· δυσωπεῖσθαι δὲ τὴν ἐπικηδείαν. γράφει δὲ καὶ ἐπιστολὴν πρὸς Λεύκολλον τοὺς εἰρημένους λόγους ἔχουσαν· ἥτις παρώξυνε τὸν δεξάμενον. οὐ γὰρ ἐνέγραψεν αὐτὸν αὐτοκράτορα, ἐγκαλῶν ὅτι μηδὲ αὐτὸς ἐκεῖνον κατὰ τὰς ἐπιστολὰς βασιλέα βασιλέων προσηγόρευσεν. ἐνταῦθα μὲν καὶ ἡ πεντεκαιδεκάτη καταλήγει ἱστορία·

ἱστορία δὲ ἡ ἐφεξῆς τάδε ἀφηγεῖται. ἀναλαβὼν Κόττας τὰ ῥωμαϊκὰ στρατεύματα, κατὰ τῆς ἡρακλείας ἐχώρει. ἀλλὰ πρότερον μὲν ἐπὶ προυσιάδος ἦγεν· (ἡ δὲ προυσιάς, πρὶν μὲν ἀπὸ τοῦ παραρρέοντος αὐτὴν ποταμοῦ κίερος ἐκαλεῖτο· ὁ δὲ τῆς βιθυνίας βασιλεύς, τῶν ἡρακλεωτῶν ταύτην ἀφελόμενος, ἐξ ἑαυτοῦ μετωνόμασεν·) ἐνθένδεν δὲ ἐπὶ τὴν ποντικὴν κατῆλθε θάλασσαν, καὶ παρελθὼν τὴν παραλίαν, τοῖς κατὰ κορυφὴν τείχεσι τὸ στράτευμα περιέστησεν. ἐθάρρουν μὲν τῇ τοῦ χωρίου οἱ ἡρακλεῶται ὀχυρότητι, καὶ καρτερῶς τοῦ Κόττα πολιορκοῦντος, σὺν τοῖς φρουροῖς ἀντεμάχοντο· καὶ φόνος ἦν τοῦ ῥωμαϊκοῦ πλήθους πλέον, τραύματα δὲ πολλὰ τῶν ἡρακλεωτῶν ἐκ τῶν βελῶν. Κόττας οὖν ἀνακαλεῖται τῆς τειχομαχίας τὸ στράτευμα, καὶ μικρὸν στρατοπεδεύων ἄποθεν, ὅλον ἔτρεπε τὸν σκοπὸν εἰς τὸ ταῖς ἐπὶ ταῖς χρείαις ἐξόδοις εἴργειν τῶν πολιορκουμένων. σπανιζόντων δὲ τῇ πόλει τῶν ἐπιτηδείων, πρεσβεία πρὸς τοὺς ἀποίκους ἐξεπέμπετο, τροφῆς δι' ὠνῆς αἰτοῦσα χορηγίαν. οἱ δὲ τῇ πρεσβείᾳ ἡσμένιζον. πρὸ

βραχέος δὲ ὁ Τριάριος τὸν ῥωμαϊκὸν στόλον ἔχων, ὥρμησεν ἀπὸ νικομηδείας ἐπὶ τὰς ποντικὰς τριήρεις, ἃς προεῖπεν ὁ λόγος περί τε κρήτην καὶ ἰβηρίαν ἐξαποσταλῆναι. μαθὼν δὲ τὰς ὑπολοίπους ἐς τὸν πόντον διακεχωρηκέναι, (πολλαὶ γὰρ αὐτῶν καὶ χειμῶνι καὶ ταῖς κατὰ μέρος ναυμαχίαις εἰς διαφθορὰν ἔδυσαν) καταλαμβάνει τε ταύτας, καὶ τὴν μάχην περὶ τὴν τένεδον συγκροτεῖ· ἑβδομήκοντα μὲν ἔχων τριήρεις αὐτὸς, τῶν δὲ ποντικῶν ἀγόντων βραχὺ δεούσας τῶν ὀγδοήκοντα. ἐπεὶ δὲ συνέστη ὁ πόλεμος, κατ' ἀρχὰς μὲν ἀντεῖχον οἱ τοῦ βασιλέως, ὕστερον δὲ τροπῆς αὐτῶν λαμπρᾶς γενομένης, τὸ ῥωμαίων διὰ κράτος ἐνίκησε στράτευμα. καὶ οὕτως ἅπας ὁ Μιθριδάτειος στόλος, ὅσος ἐπὶ τὴν ἀσίαν αὐτῷ συνεξέπλευσεν, ἑάλω. Κόττας δὲ παρὰ τὴν ἡράκλειαν στρατοπεδεύων, ὅλως μὲν οὐ προσέβαλεν τῇ πολιορκίᾳ τέως τῷ στρατῷ, κατὰ μέρος δὲ προσῆγεν, ἐνίοις μὲν τῶν ῥωμαίων, πλείοσι δὲ προσβαλλόμενος τῶν βιθυνῶν· πολλῶν δὲ καὶ τιτρωσκομένων καὶ ἀναιρουμένων, μηχανὰς ἐπινόει, ὧν ἐδόκει τοῖς πολιορκουμένοις ἡ χελώνη φοβερωτέρα. ἐπάγει γοῦν ὅλην ταύτην τὴν δύναμιν συγκινήσας πύργῳ τινί, ὑπόπτως ἔχοντι πρὸς τὸ παθεῖν· ὡς δὲ ἅπαξ καὶ δεύτερον πληγείς, οὐ μόνον παρὰ δόξαν διεκαρτέρει, ἀλλὰ καὶ ὁ κριὸς τῆς ἄλλης ἐμβολῆς περιεκλάσθη, ἀθυμίαν μὲν τοῖς ἡρακλεώταις, ἀγωνίαν δὲ παρέσχε Κόττᾳ, διαταράττουσα αὐτὸν ὡς οὐκ ἂν ἡ πόλις αἱρεθείη ποτέ. τῇ ὑστεραίᾳ δ' οὖν πάλιν ἐπαγαγὼν τὴν μηχανὴν, καὶ μηδὲν ἀνύσας, κατακαίει μὲν τὸ μηχάνημα, ἀποτέμνει δὲ καὶ τὰς τῶν μηχανοποιῶν κεφαλάς· καὶ φρουρὰν τοῖς τείχεσι καταλιπὼν, μετὰ τοῦ λοιποῦ πλήθους εἰς τὸ καλούμενον πεδίον λύκαιον διέτριβεν, ἀφθονίαν ἔχοντες τῶν ἐπιτηδείων τοῦ χωρίου. κἀκεῖθεν τὴν περὶ τὴν ἡράκλειαν χώραν ἅπασαν ἐδῄου, εἰς πολλὴν ἀμηχανίαν τοὺς πολίτας συνελαύνων.

διεπρεσβεύετο γοῦν πάλιν πρός τε τοὺς ἐν σκυθίᾳ χερρονη-
σίτας καὶ Θεοδοσιανοὺς καὶ τοὺς περὶ Βόσπορον δυνάστας ὑπὲρ
συμμαχίας· καὶ ἡ πρεσβεία ἀνέστρεφεν ἄπρακτος. τῶν δὲ
πολεμίων ἐπικειμένων τῇ πόλει, οὐ πολὺ ἔλαττον αὐτῇ τὰ
λυποῦντα ἔνδον ἐπεγίνετο. οὐ γὰρ ἠρκοῦντο οἱ φρουροὶ οἷς
διέζη τὸ δημοτικόν· θλίβοντες δὲ τοὺς πολίτας, χορηγεῖν ἃ μὴ
ῥᾷον ἦν αὐτοῖς, ἐξ ἀνάγκης ἐκέλευον. καὶ τῶν φρουρῶν ἔτι
μᾶλλον ἦν χαλεπώτερος ὁ ἐφεστηκὼς αὐτῶν Κονιακόριξ, ἢ
ἀπείρων, ἀλλ' ἐπιπρέπων τοῖς ὑπὸ χεῖρα τὴν βίαν. τεμὼν
δὲ τὴν χώραν ὁ Κόττας, πάλιν προσβάλλει τοῖς τείχεσιν. ἀθύ-
μους δὲ τοὺς στρατιώτας πρὸς πολιορκίαν ὁρῶν, ἀπαγορεύει τῆς
τειχομαχίας, καὶ πέμπει καλῶν τὸν Τριάριον τάχος τὴν τριήρε
σιν ἀφικνεῖσθαι, καὶ κωλύειν τὸν διὰ τῆς θαλάσσης ἐπισιτισμὸν τῇ
πόλει. λαβὼν οὖν ἃς εἶχεν ὁ Τριάριος καὶ ῥοδίους εἴκοσι ναῦς,
ὧν σύμπαν τὸ πλῆθος εἰς τρεῖς καὶ τεσσαράκοντα ἐτέλει, εἰς
τὸν πόντον διαβαίνει καὶ μηνύει Κόττᾳ καὶ τὸν καιρὸν καὶ τὴν
ἄφιξιν. ὑπὸ δὲ τὴν αὐτὴν ἡμέραν Κόττας τε τοῖς τείχεσι τὸν
στρατὸν προσῆγε, καὶ ὁ κατάπλους τῶν Τριαρίου νεῶν ἐπε-
φαίνετο. συνταραχθέντες οὖν οἱ ἡρακλεῶται πρὸς τὸ αἰφνί
διον τῆς τῶν νηῶν ἐφόδου, ναῦς μὲν ἐπὶ τὴν θάλασσαν τριάκοντα
καθεῖλκον, οὐδὲ ταύτας ἀκριβῶς πληροῦντες· τὸ γὰρ λοιπὸν πρὸς
τὴν πολιορκίαν ἐτρέποντο. ἀνήγετο μὲν ὁ ἡρακλεωτικὸς στόλος
πρὸς τὰς ἐπιπλεούσας τῶν πολεμίων. πρῶτοι γοῦν ῥόδιοι (καὶ
γὰρ ἐδόκουν ἐμπειρίᾳ τε καὶ ἀνδρείᾳ τῶν ἄλλων προέχειν) ἐνέρρα
γησαν ταῖς ἐξ ἡρακλείας· καὶ παραχρῆμα μὲν κατέδυσαν ῥο-
δίων μὲν τρεῖς, ἡρακλεώτιδες δὲ πέντε· ἐπιγινόμενοι δὲ τῇ
ναυμαχίᾳ καὶ ῥωμαῖοι, καὶ πολλὰ παθόντες καὶ ποιήσαντες τοὺς
πολεμίους, πλέον γὰρ ὅμως κατορθώσαντες, ἐτρέψαντο τὰς ἐξ ἡρα-
κλείας, καὶ φεύγειν ἠνάγκασαν πρὸς τὴν πόλιν, τέσσαρας ἀπο-
βαλούσας καὶ δέκα. αἱ τρεψάμεναι δὲ, πρὸς τὴν μέγαν ἐνορμί-

ζοντο λήμματα. ηὔξει δ' οὖν καὶ τὸ πιέζον τῆς πολιορκίας ὁ Κόττας· οἱ δὲ περὶ τὸν Τριάριον ἀναγόμενοι καθ' ἑκάστην ἀπὸ τοῦ λιμένος, τοὺς σιτηγοῦντας ὁρμωμένους τοῖς πολιορκουμένοις ἀπεκώλυον· καὶ σπάνις χαλεπὴ τὴν πόλιν κατεῖχεν, ὡς ὀγδοήκοντα ἀττικῶν τὴν λεγομένην χοίνικα τοῦ σίτου προκόψαι. ἐπὶ δὲ τοῖς ἄλλοις κακοῖς, καὶ λοιμὸς αὐτοῖς ἐπιπεσὼν, εἴτε ἐκ τροπῆς ἀέρων, εἴτε ἐκ τῆς ἀσυνήθους διαίτης, ποικίλην ἐπὶ ποικίλαις παθημάτων ἰδέαις τὴν φθορὰν ἀπειργάζετο. ἐν οἷς καὶ Λάμαχος πικροτέρῳ καὶ μακροτέρῳ τῶν ἄλλων ὀλέθρῳ διέφθαρτο. ἥψατο δὲ μάλιστα καὶ τῶν φρουρῶν ἡ νόσος, ὡς ἀπὸ τρισχιλίων χιλίους ἀποθανεῖν. τοὺς ῥωμαίους δὲ τὸ πάθος οὐκ ἐλάνθανεν. καὶ ὁ Κοννακόριξ κακοπαθῶν ταῖς συμφοραῖς, ἔγνω τοῖς ῥωμαίοις προδιδόναι τὴν πόλιν, καὶ τῇ τῶν ἡρακλεωτῶν ἀπωλείᾳ τὴν ἰδίαν σωτηρίαν ἀλλάξασθαι. συνελαμβάνετο δὲ αὐτῷ καὶ ἡρακλεώτης ἀνήρ, ζηλωτὴς τῆς Λαμάχου προαιρέσεως, Δαμοφέλης ὄνομα, φρούραρχος καὶ αὐτὸς τῇ πόλει, μετὰ τὴν Λαμάχου φθορὰν, καταστάς. ὁ τοίνυν Κοννακόριξ τὸν Κόταν μὲν, ὡς βαρὺν τὸ ἦθος καὶ ἄπιστον, ἐφυλάττετο, πρὸς τὸν Τριάριον δὲ συνετίθετο. συνέτρεχε δὲ τούτοις καὶ Δαμοφέλης οὐκ ἐνδεέστερον. καὶ λαβόντες συνθήκας ἃς ἐνδαιμονήσειν αὐτοὶ ἤλπιζον, πρὸς τὴν προδοσίαν παρεσκευάζοντο. ἐξ ἐπιπολῆς οὖν τὰ πραττόμενα τοῖς προδόταις, διέπιπτεν εἰς τὸν δῆμον. εἰς ἐκκλησίαν οὖν ἡ πόλις συνέδραμεν, καὶ τὸν φρούραρχον ἐκάλουν. Βριθαγόρας δὲ τῶν ἐν τῷ δήμῳ ἀνὴρ ἐπιφανὴς πρὸς Κοννακόρικα διαγκωνιῶν, τά τε κατέχοντα τὴν ἡράκλειαν διεξῄει, καὶ εἰ κἀκείνῳ δοκεῖ, ἐπὶ κοινῇ πάντων σωτηρίᾳ διελάμβανεν Τριαρίῳ διαλέξασθαι. ταῦτα Βριθαγόρου μετὰ πολλῆς οἰκτισαμένου δεήσεως, διαναστὰς ὁ Κοννακόριξ, τοιαύτην μὲν συνθήκην ἀπεῖπεν πράττεσθαι,

ἔχεσθαι δὲ τῆς ἐλευθερίας καὶ τῶν κρειττόνων ὑπεκρίνατο ἐλπίδων. καὶ γὰρ καὶ τὸν βασιλέα μαθεῖν διὰ γραμμάτων ὑπὸ Τιγραίοις τε τοῦ γαμβροῦ φιλοφρόνως δεδέχθαι, καὶ οὐκ εἰς μακρὰν ἐκεῖθεν προσδοκᾶν τὴν ἀποχρῶσαν βοήθειαν. ἀλλ' ἐκείνοις μὲν ταῦτα ὁ Κοννακόριξ ἐσκηνωκεύετο· οἱ δὲ ἡρακλεῶται τούτοις τοῖς λόγοις ἐξηπατημένοι (ἀεὶ γὰρ αἱρετὸν τὸ ἐράσμιον) ὡς ἀληθέσι, τοῖς περὶ ἐλευθερίαν ἐπίστευον. ὁ δὲ Κοννακόριξ, ὡς ἠπατημένοις ἔγνω, κατὰ μέσας νύκτας ἐπιβιβάσας ἡσύχως τῇ τριήρεσι τὸ στράτευμα (αἱ γὰρ πρὸς τὸν Τριάριον συνθῆκαι, κακῶν ἀπαθεῖς ἀπιέναι, καὶ εἴ τι κεκερδακότες εἶησαν, μεθ' ἑαυτῶν ἄγειν ἐπέτρεπον) καὶ αὐτὸς τούτοις συνεξέπλευσεν. Δαμοφελὴς δὲ τὰς πύλας ἀνοίξας, εἰσχεόμενον τὸν ῥωμαϊκὸν στρατὸν καὶ τὸν Τριάριον εἰσεδέχετο, τοὺς μὲν, διὰ τῆς πύλης, ἐνίους δὲ, καὶ τὴν στεφάνην ὑπερβαίνοντας. καὶ τότε τῆς προδοσίας οἱ ἡρακλεῶται ἐπῄσθοντο· καὶ οἱ μὲν σφᾶς αὐτοὺς παρεδίδοσαν, οἱ δὲ ἐκτείνοντο· τά τε κειμήλια καὶ τὰ ἔπιπλα διηρπάζετο, καὶ πολλὴ τοὺς πολίτας ὠμότης ἐλάμβανεν· μεμνημένων ῥωμαίων ὅσα τε παρὰ τὴν ναυμαχίαν πάθοιεν, καὶ ὅσα ταλαιπωρηκότες ἐπὶ τῇ πολιορκίᾳ ὑπέστησαν. οὐκ ἀπείχοντο γοῦν οὐδὲ τῶν ἐπὶ τοῖς ἱεροῖς πεφευγότων, ἀλλὰ παρά τε τοῖς βωμοῖς καὶ τοῖς ἀγάλμασιν αὐτοὺς ἔσφαττον. διὸ πολλοὶ διαπίπτοντες ἐκ τῶν τειχῶν, φόβῳ τοῦ ἀφύκτου θανάτου, κατὰ πᾶσαν ἐσκεδάννυντο χώραν. οἱ δὲ αὐτομολεῖν πρὸς τὸν Κότταν ὑπεσκάζοντο. ἐξ ὧν ἐκεῖνος τήν τε ἅλωσιν καὶ τὸν φθόρον τῶν ἀνθρώπων καὶ τὴν διαρπαγὴν τῶν χρημάτων πυθόμενος, ὀργῆς ἀνεπίμπλατο, καὶ διὰ ταχέων πρὸς τὴν πόλιν ἠπείγετο. συνεχαλέπαινε δὲ καὶ τὸ στράτευμα, ὡς μὴ μόνον τὴν ἐπὶ τοῖς κατωρθωμένοις εὐδοξίαν ἀφῃρημένων, ἀλλὰ καὶ τῶν λυσιτελῶν ἁπάσας παρὰ τῶν αὐτῶν διηρπασμένοι. καὶ εἰς μάχην ἂν τοῖς ὁμοφύλοις κατέστησαν

ἄσπονδον,

ἄσπονδον, καὶ κατεκόπησαν ἂν ὑπ' ἀλλήλων, εἰ μὴ ὁ Τειάειος ἐπιγνοὺς τὴν ὁρμὴν αὐτῶν, πολλοῖς ἐκμειλίξας λόγοις τόν τε Κότταν καὶ τὸν στρατὸν, καὶ εἰς τὸ κοινὸν τὰ κέρδη καταθεῖναι βεβαιωσάμενος, τὸν ἐμφύλιον ἀνεχαίτισε πόλεμον. ἐπεὶ δὲ ἐπυνθάνοντο τὸν Κοννακόρικα κατειληφότα τήν τε Τῖον καὶ τὴν ἄμαστριν, αὐτίκα Κόττας τὸν Τειάειον ἐκπέμπει ἀφαιρησόμενον αὐτῶν τὰς πόλεις· αὐτὸς δὲ τούς τε προσκεχωρηκότας ἄνδρας λαβὼν καὶ τοὺς ἐκ τῆς αἰχμαλωσίας ἀνθρώπους, τὰ λοιπὰ μετὰ πάσης διέπεπτεν ὠμότητος. χρήματα γοῦν διερευνώμενος, οὐδὲ τῶν ἐν ἱεροῖς ἐφείδετο· ἀλλὰ τούς τε ἀνδριάντας καὶ τὰ ἀγάλματα ἐκίνει, πολλὰ καὶ καλὰ ὄντα· καὶ δὴ καὶ τὸν ἡρακλέα τὸν ἐκ τῆς ἀγορᾶς ἀνήρει, καὶ σκευὴν αὐτοῦ τὴν ἀπὸ τῆς πυραμίδος, πολυτελείας καὶ μεγέθους καὶ δὴ καὶ ῥυθμοῦ καὶ χάριτος καὶ τέχνης οὐδενὸς τῶν ἐπαινουμένων ἀπολειπομένην. ἦν δὲ ῥόπαλον σφυρήλατον ἀπέφθου χρυσοῦ πεποιημένον· κατὰ δὲ αὐτοῦ λεοντῆ μεγάλη ἐκέχυτο, καὶ γωρυτὸς τῆς αὐτῆς μὲν ὕλης, βελῶν δὲ γέμων καὶ τόξου. πολλὰ δὲ καὶ ἄλλα καλὰ καὶ θαυμαστὰ ἀναθήματα ἔκ τε τῶν ἱερῶν καὶ τῆς πόλεως ἀφελὼν, ταῖς ναυσὶν ἐνκατέθετο· καὶ τὸ τελευταῖον, πῦρ ἐνεῖναι τοῖς στρατιώταις κελεύσας τῇ πόλει, κατὰ πολλὰ ταύτην ἐνέπρησεν μέρη. ἑάλω δὲ ἡ πόλις, ἐπὶ δύο ἔτη τῇ πολιορκίᾳ ἀντισχοῦσα. ὁ δὲ Τειάειος παραγεγονὼς ἐν αἷς ἀπέσταλτο πόλεσι, Κοννακόρικι (οὗτος γὰρ τὴν τῆς ἡρακλείας προδοσίαν ἑτέρων κατασχεῖν συγκαλύπτειν διενοεῖτο) δοὺς ἄδειαν τῆς ἀναχωρήσεως, καθ' ὁμολογίαν λαμβάνει τὰς πόλεις. ὁ δὲ Κόττας ἅπερ εἴρηται διαπραξάμενος, τὸ μὲν πεζὸν καὶ τοὺς ἱππεῖς ἐκπέμπει Λευκόλλῳ, καὶ τοὺς συμμάχους ἀφῆκεν ἐπὶ τῶν πατρίδων· αὐτὸς δὲ ἀνήγετο τῷ στόλῳ. τῶν δὲ νεῶν αἳ τὰ τῆς πόλεως λάφυρα ἦγον, αἱ μὲν κα-

τὰ φορτοὶ γενόμεναι, μικρὸν ἄποθεν τῆς γῆς διελύθησαν· αἱ δὲ, ἀπαρκτίου πνεύσαντος, ἐξεβράσθησαν εἰς τὰ τενάγη. καὶ πολλὰ τῶν ἀγωγίμων ἀπέβαλοντο. Λεόνιππος δὲ ὁ σὺν Κλεοχάρει παρὰ Μιθριδάτου τὴν σινώπην ἐπιτραπεὶς, ἀπεγνωκὼς τὰ πράγματων, πέμπει περὶ προδοσίας πρὸς Λεύκολλον. ὁ δὲ Κλεοχάρης ἅμα Σελεύκῳ (καὶ γὰρ οὗτος τῶν Μιθριδάτου στρατηγὸς ἰσοστάσιος τῶν εἰρημένων ἦν) τὴν Λεονίππου μαθόντες προδοσίαν, ἐκκλησίαν ἀθροίσαντες, κατηγόρουν αὐτοῦ. οἱ δὲ οὐ προσίεντο· ἐδόκει γὰρ αὐτοῖς εἶναι χρηστός. καὶ οἱ περὶ Κλεοχάρην δείσαντες τοῦ πλήθους τὴν εὔνοιαν, ἐξ ἐνέδρας νυκτὸς ἀποσφάττουσι τὸν ἄνδρα. καὶ τὸ μὲν δημοτικὸν ἤχθετο τῷ πάθει, οἱ δὲ περὶ Κλεοχάρην, τῶν πραγμάτων κύριοι καταστάντες, τυραννικῶς ἦρχον· ταύτῃ νομίζοντες διαφυγεῖν τῆς ἐπὶ Λεονίππῳ μιαιφονίας τὴν δίκην. ἐν τούτῳ Κηνσωρῖνος ναύαρχος ῥωμαίων, τριήρεις ἄγων πεντεκαίδεκα σῖτον ἀπὸ βοσπόρου τῷ ῥωμαίων κομιζούσας στρατοπέδῳ, πλησίον σινώπης κατῆρεν· καὶ οἱ περὶ Κλεοχάρην καὶ Σέλευκον ἀντανα χθέντες σινωπικαῖς τριήρεσιν, ἡγουμένου Σελεύκου, καθίστανται εἰς ναυμαχίαν· καὶ νικῶσι τοὺς ἰταλοὺς, καὶ τὰς φορτηγοὺς ἐπὶ τῷ σφῶν ἀφαιροῦνται κέρδει. ἐπήρθησαν οὖν οἱ περὶ Κλεοχάρην τῷ κατορθώματι, καὶ τυραννικώτερον ἔτι τῆς πόλεως ἦρχον· φόνοις τε ἀκρίτοις τῶν πολιτῶν ποιοῦντες, καὶ τὰ ἄλλα τῇ ὠμότητι ἀποχρώμενοι. ἐγένετο δὲ καὶ στάσις πρὸς ἀλλήλους Κλεοχάρει καὶ Σελεύκῳ. τῷ μὲν γὰρ ἤρεσκε διακαρτερεῖν τῷ πολέμῳ· Σελεύκῳ δὲ, πάντας σινωπεῖς ἀναιρεῖν, καὶ ῥωμαίοις ἐπὶ δωρεαῖς μεγάλαις παραδοῦναι τὴν πόλιν. πλὴν οὐδεμία τῶν γνωμῶν κρίσιν ἔσχεν, τὰ δὲ ὑπάρχοντα λαθραίως ναυσὶ στρογγύλαις ἐνθέμενοι, πρὸς Μαχάρην τὸν Μιθριδάτου υἱὸν, ὃς κατ' ἐκεῖνο καιροῦ περὶ τὴν Κολχίδα ἦν,

ἐξέπεμπον. ἐν τούτῳ δὲ Λεύκολλος ὁ τῶν ῥωμαίων αὐτοκράτωρ παραγίνεται τῇ πόλει, καὶ κραταιῶς ἐπολιόρκει. ἐπρεσβεύετο δὲ καὶ Μαχάρης ὁ τοῦ Μιθριδάτου πρὸς Λεύκολλον περὶ φιλίας τε καὶ συμμαχίας. ὁ δὲ ἀσμένως ἐδέχετο, εἰπὼν βεβαίους νομιεῖν τὰς συμβάσεις, εἰ μὴ καὶ τοῖς σινωπεῦσιν ἀγορὰν διαπέμποι. ὁ δὲ οὐ μόνον τὸ κελευόμενον ἐπερᾶλπεν, ἀλλὰ καὶ ἃ παρεσκεύαστο πέμπειν τοῖς Μιθριδατείοις, ἐξαπέστελλε Σελεύκῳ. ταῦτα οἱ περὶ Κλεοχάρην θεασάμενοι, καὶ τέλεον ἀπογνόντες, πλοῦτον πολὺν ταῖς ναυσὶν ἐνθέμενοι, καὶ τὴν πόλιν διαρπάσαι τοῖς στρατιώταις ἐφέντες (ὑπὸ νύκτα δὲ ταῦτα ἐπράττετο) διὰ τῶν πλοίων ἔφευγον εἰς τὰ ἐσώτερα τοῦ πόντου (σάνιγας δὲ καὶ λαζοὺς ἐποίκους εἶχον τὰ χωρία) ταῖς ὑπολειφθείσαις τῶν νεῶν πῦρ ἐνέντες. αἰρομένης δὲ τῆς φλογὸς, ᾔσθετο Λεύκολλος τοῦ ἔργου· καὶ κλίμακας κελεύει προσάγειν τῷ τείχει. οἱ δὲ ὑπερέβαινον. καὶ φθόρος ἦν κατ' ἀρχὰς οὐκ ὀλίγος· ἀλλὰ τὸ πάθος Λεύκολλος οἰκτείρας, τὴν σφαγὴν ἐπέσχεν· οὕτως μὲν οὖν ἥλω καὶ ἡ σινώπη. ἔτι δὲ ἡ ἀμάσεια ἀντεῖχεν, ἀλλ' οὐ μετ' οὐ πολὺ καὶ αὐτὴ προσεχώρησε ῥωμαίοις. Μιθριδάτης δὲ ἐνιαυτὸν καὶ μῆνας ὀκτὼ ἐν τοῖς μέρεσι τῆς ἀρμενίας διατρίβων, οὔπω εἰς ὄψιν κατέστη Τιγράνου. ἐπεὶ δὲ Τιγράνης ἐδυσωπήθη εἰς θέαν αὐτὸν καταστῆσαι, μετὰ λαμπρᾶς τε τῆς πομπῆς ἀπήντα καὶ βασιλικῶς ἐδεξιοῦτο. ἐπὶ δὲ τρεῖς ἡμέρας ἀπορρήτως αὐτῷ ὁμιλήσας, ἔπειτα λαμπροτάταις ἑστιάσεσι φιλοφρονησάμενος, μυρίους δίδωσιν ἱππεῖς, καὶ ἐπὶ τὸν πόντον ἐκπέμπει. Λεύκολλος δὲ εἰς τὴν καππαδοκίαν ἐληλυθὼς, καὶ φίλον ἔχων τὸν ἐπάρχοντα ταύτης Ἀριοβαρζάνην, διέβη τε παρὰ δόξαν πεζῇ τὸν εὐφράτην, καὶ προσῆγε τὸ στρατὸν τῇ πόλει ἐν ᾗ τάς τε Τιγράνου παλλακίδας φυλάττεσθαι μεμαθήκει, καὶ πολλὰ τῶν σφόδρα τιμίων. καταλελοίπει δὲ καὶ τοῖς Τιγρανόκερτα πολιορ-

κήσοντας, καὶ στράτευμα ἄλλο ἐπὶ τῶν πολισμάτων τὰ ἀσυνδαιότερα. οὕτω δὲ τῆς ἀρμενίας κατὰ πολλὰ μέρη πολιορκουμένης, ἔπεμπε Τιγράνης ἀνακαλῶν Μιθριδάτην. καὶ στρατὸν δὲ περὶ τὴν πόλιν, ἐν ᾧ τὰς παλλακίδας ἔθετο, διέπεμπεν· οἳ καὶ παραγεγονότες, καὶ τὰ ξείᾳ τοῦ ῥωμαίων στρατοπέδου τὰς ἐξόδους διακλείσαντες, τάς τε παλλακίδας καὶ τὰ τιμιώτατα τῶν κειμηλίων διὰ νυκτὸς προεξέπεμψαν. ἡμέρας δὲ ἀναχούσης, καὶ τῶν ῥωμαίων ἅμα τῶν θρᾳκῶν ἀνδρείως ἀγωνιζομένων, φόνος τε πολὺς τῶν ἀρμενίων γίνεται, καὶ ζωγρίαι τῶν ἀνῃρημένων ἑάλωσαν οὐκ ἐλάττους. τὰ μέντοι γε προαποσταλέντα διεσώζετο πρὸς Τιγράνην. δύναμιν δὲ οὗτος ἀθροίσας ὀκτὼ μυριάδας, κατέβαινεν, τήν τε Τιγρανοκέρταν ἐξαιρησόμενος τῶν συνεχόντων καὶ ἀμυνούμενος τοὺς πολεμίους. φθάσας δὲ καὶ ἰδὼν τὸ ῥωμαίων ὀλίγον στρατόπεδον, ὑπεροπτικοὺς ἠφίει λόγους, ὡς εἰ μὲν πρεσβευταὶ παρεῖεν, πολλοί, φάμενος, συνῆλθον· εἰ δὲ πολέμιοι, παντελῶς ὀλίγοι. καὶ ταῦτα εἰπὼν, ἐστρατοπεδεύετο. Λεύκολλος δὲ τέχνῃ καὶ μελέτῃ πρὸς τὴν μάχην παραταξάμενος, καὶ θαρρύνας τοὺς ὑπ' αὐτὸν, τρέπει τε τὸ δεξιὸν εὐθὺς κέρας, εἶτα τοῦτο συναπέκλινεν τὸ πλησίον, ἑξῆς δὲ σύμπαντες· καὶ δεινή τις καὶ ἀνεπίσχετος τοὺς ἀρμενίους ἐπέσχεν φυγή· καὶ κατὰ λόγον ἡ τῶν ἀνθρώπων εἵπετο φθορά. Τιγράνης δὲ τὸ διάδημα καὶ τὰ παράσημα τῆς ἀρχῆς ἐπιθεὶς τῷ παιδὶ, πρός τι τῶν ἐρυμάτων διαφεύγει. ὁ δὲ Λεύκολλος ἐπὶ τὰ Τιγρανόκερτα ἀναστρέψας, προθυμότερον ἐπολιόρκει. οἱ δὲ κατὰ τὴν πόλιν Μιθριδάτου στρατηγοὶ, τῶν ὅλων ἀπεγνωκότες, ἐπὶ τῇ σφετέρᾳ σωτηρίᾳ Λευκόλλῳ παρέδοσαν τὴν πόλιν. ὁ μέντοι Μιθριδάτης πρὸς Τιγράνην παραγεγονὼς, ἀνελάμβανέν τε αὐτὸν καὶ βασιλικὴν ἐσθῆτα περιετίθει, τῆς συνήθους οὐκ ἐλαττουμένην.

καὶ λαὸν ἀθροίζειν συνεβούλευεν, ἔχων καὶ αὐτὸς δύναμιν οὐκ ὀλίγην, ὡς πάλιν ἀναμαχούμενοι τὴν νίκην. ὁ δὲ πάντα τῷ Μιθριδάτῃ ἐπέτρεπεν, ἔν τε τῷ γυναικῶ καὶ συνετῷ τὸ πλέον νέμων αὐτῷ, καὶ μᾶλλον ἀνέχειν εἰς τὸν πρὸς ῥωμαίους πόλεμον δυνάμενον. αὐτὸς δὲ πρὸς τὸν πάρθον Φραδάτην διεπρεσβεύετο, παραχωρεῖν αὐτῷ τὴν μεσοποταμίαν καὶ τὴν ἀδιαβηνὴν καὶ τοὺς μεγάλους αὐλῶνας. ἀφικομένων δὲ πρὸς τὸν πάρθον τῶν παρὰ Λευκόλλου πρέσβεων, τοῖς μὲν ῥωμαίοις ἰδίᾳ φίλος εἶναι ὑπεκρίνατο καὶ σύμμαχος, ἰδίᾳ δὲ τὰ αὐτὰ πρὸς τοὺς ἀρμενίους διετίθετο. ὁ δὲ δὴ Κότλας, ὡς εἰς τὴν ῥώμην ἀφίκετο, τιμῆς παρὰ τῆς συγκλήτου τυγχάνει, ποντικὸς αὐτοκράτωρ καλεῖσθαι, ὅτι εἷλοι τὴν ἡράκλειαν· διαβολῆς δὲ εἰς τὴν ῥώμην ἀφικνουμένης, ὡς οἰκείων κερδῶν ἕνεκα τηλικαύτην πόλιν ἐξαφανίσειε, μισθὸς τε δημόσιον ἐλάμβανε, καὶ ὁ περὶ αὐτὸν τοσοῦτος πλοῦτος φθόνον ἀνεκίνει. διὸ καὶ πολλὰ τῶν λαφύρων εἰς τὸ τῶν ῥωμαίων εἰσεκόμιζε ταμιεῖον, τὸν ἐπὶ τῷ πλούτῳ φθόνον ἐκκρούων· εἰ καὶ μηδὲν αὐτοὺς πρᾳοτέρους ἀπειργάζετο, ἀπὸ πολλῶν ὀλίγα νέμειν ὑπολαμβάνοντας. ἐψηφίσαντο δὲ αὐτίκα καὶ τοὺς αἰχμαλώτους τῆς ἡρακλείας ἀφίεσθαι. Θρασυμήδης δὲ τῶν ἐξ ἡρακλείας εἷς, κατηγόρησεν ἐπ' ἐκκλησίας τοῦ Κότλα, τάς τε τῆς πόλεως εἰσηγούμενος πρὸς ῥωμαίους εὐνοίας, καὶ εἴ τι ταύτης ἀποκλίνοιεν, οὐχὶ γνώμῃ τῆς πόλεως τοῦτο δρᾶν, ἀλλ' ἢ τινος τῶν ἐφεστηκότων τοῖς πράγμασιν ἐξαπάτῃ, ἢ καὶ βίᾳ τῶν ἐπιτιθεμένων· ἀπωλοφύρετο δὲ τόν τε τῆς πόλεως ἐμπρησμὸν, καὶ ὅσα τὸ πῦρ ἀφανίσοι· ὅπως τε τὰ ἀγάλματα Κότλας καθῄρει, καὶ λείαν ἐποιεῖτο, τούς τε ναοὺς κατέσπα, καὶ ὅσα ἄλλα δι' ὠμότητος ἐλθὼν ἐπεπράγει· τόν τε χρυσὸν καὶ τὸν ἄργυρον τῆς πόλεως ἀναχάραξων ἀναρίθμητον, καὶ τὴν ἄλλην τῆς ἡρακλείας

ἣν ἐσφετερίσατο δυσδαιμονίαν. τοιαῦτα τοῦ Θρασυμήδους μετ' οἰμωγῆς καὶ δακρύων διεληλυθότος, καὶ τῶν ἡγεμόνων ἐπικλασθέντων τῷ πάθει· (καὶ γὰρ παρῆλθεν καὶ τὸ τῶν αἰχμαλώτων πλῆθος, ἄνδρες ὁμοῦ καὶ γυναῖκες, μετὰ τέκνων, ἐν πενθίμοις ἐσθῆσι, θαλλοὺς ἱκεσίους μετ' ὀλοφυρμῶν προτείνοντες) ἀντιπαρελθὼν ὁ Κόττας βραχεῖα τῇ πατρίῳ διειλέχθη φωνῇ, εἶτα ἐκαθέσθη. καὶ Κάρβων ἀναστὰς, ἡμεῖς, ὦ Κόττα, φησὶ, πόλιν ἑλεῖν, ἀλλ' οὐχὶ καθελεῖν ἐπετρέψαμεν. μετ' αὐτὸν δὲ καὶ ἄλλοι ὁμοίως Κότταν ᾐτιάσαντο. πολλοῖς μὲν οὖν ἄξιος ὁ Κόττας ἐδόκει φυγῆς· μετριάσαντες δ' ὅμως, ἀπεψηφίσαντο τὴν πλατύσημον αὐτοῦ. Ἡρακλεώταις δὲ τήν τε χώραν καὶ τὴν θάλασσαν καὶ τοὺς λιμένας ἀποκατέστησαν, καὶ μηδένα δουλεύειν, ψῆφον ἔθεντο. ταῦτα Θρασυμήδους διαπραξαμένου, ἐπὶ τὴν πατρίδα μὲν τοὺς πολλοὺς ἐξέπεμψεν· αὐτὸς δὲ μετὰ Βριθαγόρου τε καὶ Προπύλου, (παῖς δὲ ἦν ὁ Γρόπυλος Βριθαγόρου) κατὰ τοὺς ἑξῆς ἐπιμένων χρόνους, τὰ λοιπὰ τῶν ἐπειγόντων καθίστατο. καὶ τριῶν ἐτῶν ἀνυσθέντων, τρισὶν ἐπακτρίοις εἰς τὴν Ἡράκλειαν ἐπανάγεται. ἀφικόμενος δὲ, πάντα τρόπον ἐπενόει ἀνοικίζεσθαι τὴν πόλιν, καθάπερ εἰς παλιγγενεσίαν ἀνακαλούμενος. ἀλλὰ πάντα πράττων, μόλις εἰς ὀκτακισχιλίους, ἅμα τοῖς οἰκετικοῖς σώμασι, συλλεγῆναι κατεπράξατο. Βριθαγόρας δὲ, ἤδη τῆς πόλεως αὐξομένης, ἐλπίδας ἐποιήσατο πρὸς ἐλευθερίαν τὸν δῆμον ἀνενεγκεῖν· καὶ διαγεγονότων μὲν πολλῶν ἐτῶν, ἤδη δὲ τῆς ῥωμαίων ἡγεμονίας εἰς ἕνα περιϊσταμένης ἄνδρα Γάϊον Ἰούλιον Καίσαρα, πρὸς τοῦτον ἠπείγετο· συνεπρέσβευον δὲ αὐτῷ ἄλλοι τέ τινες τῶν ἐπιφανῶν, καὶ ὁ υἱὸς Πρόπυλος. γνωσθεὶς οὖν τῷ Καίσαρι Βριθαγόρας, καὶ διαπραξάμενος ἐγγυτέρω τῇ φιλίᾳ προσελθεῖν, δι' ὑποσχέσεως ἐγίνετο. οὐ μὴν ἐξ ἐφόδου γε λαβεῖν τὴν ἐλευθερίαν ἠδυνήθη, ἅτε δὴ

οὐκ ἐν τῇ ῥώμῃ, ἀλλ' ἐφ' ἕτερα τοῦ Γαΐου περιτρέχοντος. οὐκ ἀφίστατο μέντοιγε Βειθαγόρας, ἀλλὰ περὶ πᾶσαν τὴν οἰκουμένην αὐτός τε καὶ Πρόπυλος συμπεριαγόμενος τῷ Καίσαρι, ἐβλέπετο παρ' αὐτοῦ, ὡς ἐπισημειούμενον τὸν αὐτοκράτορα, τῆς λιπαρήσεως αὐτὸν ἀποδέχεσθαι. δωδεκαετίας δὲ τὴν παρεδρίαν διαμετρούσης, καὶ περὶ τῆς εἰς ῥώμην ἐπανόδου τοῦ Καίσαρος διανοουμένου, ὑπό τε τοῦ γήρους καὶ τῶν συνεχῶν πόνων καταπτυχωθεὶς Βειθαγόρας τελευτᾷ, μέγα πένθος τῇ πατρίδι καταλιπών.

Τέλος καὶ τῶν ἐκ τοῦ ιϛ τῆς Μέμνονος ἱστορίας.

ΑΠΠΙΑΝΟΥ ΡΩΜΑΙκῶν Ἀννιβαϊκή.

ΟΣΑ δὲ Ἀννίβας ὁ καρχηδόνιος ἐξ ἰβηρίας ἐς ἰταλίαν ἐσβαλών, ἑκκαίδεκα ἔτεσιν οἷς ἐπέμεινε πολεμῶν, ἔδρασέ τε καὶ ἔπαθεν ὑπὸ ῥωμαίων, ἕως αὐτὸν καρχηδόνιοί τε κινδυνεύοντες περὶ τῇ πόλει, ἐπὶ τὰ σφέτερα μετεπέμψαντο, καὶ ῥωμαῖοι τῆς ἰταλίας ἐξήλασαν, ἥδε ἡ γραφὴ δηλοῖ· ἥτις δὲ τῷ Ἀννίβᾳ γέγονε τῆς ἐσβολῆς αἰτία τε ἀληθὴς καὶ πρόφασις ἐς τὸ φανερόν, ἀκριβέστατα μὲν ἐν τῇ ἰβηρικῇ συγγραφῇ δεδήλωται, συγγράψω δὲ καὶ νῦν, ὅσον εἰς ἀνάμνησιν. Ἀμίλχαρ, ᾧ Βάρκας ἐπίκλησις ἦν, Ἀννίβου τοῦδε πατήρ, ἐστρατήγει καρχηδονίων ἐν σικελίᾳ, ὅτε ῥωμαῖοι καὶ καρχηδόνιοι ἐπολέμουν· δόξας δὲ πρᾶξαι κακῶς, ὑπὸ τῶν ἐχθρῶν ἐδιώκετο· καὶ δεδιώς, ἔπραξεν ἐς τοὺς νομάδας αἱρεθῆναι στρατηγός, πρὸ τῶν εὐθυνῶν. γενόμενος δὲ χρήσιμος ἐν τῷδε, καὶ τὴν στρατιὰν θεραπεύσας ἁρπαγαῖς καὶ δωρεαῖς, ἤγαγεν ἄνευ τοῦ κοινοῦ καρχηδονίων, ἐπὶ γάδειρα, καὶ ἐπέρασε τὸν πορθμὸν ἐς ἰβηρίαν. ὅθεν λάφυρα πολλὰ διέπεμπεν ἐς καρχηδόνα, θεραπεύων τὸ πλῆθος εἰ δύναιτο μὴ χαλεπαίνειν αὐτῷ τῆς στρατηγίας τῆς ἐν σικελίᾳ. χώραν δὲ αὐτοῦ κατακτωμένου πολλήν, κλέος τε μέγα ἦν, καὶ καρχηδονίοις ἐπιθυμία πάσης ἰβηρίας, ὡς ἀμάρτυς ἔργου. ζακανθαῖοι δέ, καὶ ὅσοι ἄλλοι ἕλληνες ἐν ἰβηρίᾳ, καταφεύγουσιν ἐπὶ ῥωμαίους· καὶ γίνεται καρχηδονίοις ὅρος ἰβηρίας, μὴ διαβαίνειν τὸν ἴβηρα ποταμόν· καὶ τόδε ταῖς ῥωμαίων καὶ καρχηδονίων σπονδαῖς ἐνεγράφη. ἐπὶ δὲ τούτῳ Βάρκας μὲν τὴν ὑπὸ καρχηδονίοις ἰβηρίαν καθιστάμενος, ἔν τινι μάχῃ πεσὼν ἀποθνήσκει, καὶ στρατηγὸς Ἀσδρούβας ἐπ' αὐτῷ γίνεται,

ὃς ἐκήδευε τῷ Βάρκᾳ. καὶ τόνδε μὲν κτείνει θεράπων ἀνκυνηγεσίοις, οὗ τὸν δεσπότην ἀνῄρηκει. τρίτος δὲ ἐπὶ τοῖσδε στρατηγὸς ἰβήρων ὑπὸ τῆς στρατιᾶς ἀποδείκνυται, φιλοπόλεμος καὶ συνετὸς εἶναι δοκῶν, Αννίβας. ὁ δὲ, Βάρκα μὲν υἱὸς ὤν, Ασδρούβου δὲ τῆς γυναικὸς ἀδελφὸς, νέος δὲ κομιδῆ, καὶ, ὡς μειράκιον ἔτι, τῷ πατρὶ καὶ τῷ κηδευτῇ συνών· καὶ ὁ δῆμος ὁ καρχηδονίων αὐτῷ τὴν στρατηγίαν ἐπεψήφισεν. οὕτω μὲν Αννίβας, περὶ οὗ τάδε συγγράφω, γίγνεται στρατηγὸς καρχηδονίων ἐπὶ ἴβηρσι. τὴν δ' ἔχθραν τὴν Βάρκα τε καὶ Ασδρούβου τοῖς φίλοις τοῖς ἐκείνων διωκόντων, καὶ Αννίβου τοῦδε καταφρονούντων ὡς ἔτι νέου, ἀρχὴν εἶναι τοῦτο ὁ Αννίβας ἐφ' ἑαυτὸν ἡγούμενος, καὶ νομίζων οἱ τὸ ἀσφαλὲς ἐκ τῶν τῆς πατρίδος φόβων περιέσεσθαι, ἐς πόλεμον αὐτοὺς μέγαν ἐμβαλεῖν ἐπενόει. ὑπολαβὼν δὲ, ὥσπερ ἦν, τὸ ῥωμαίοις ἐπιχειρῆσαι, χρόνιόν τε καρχηδονίοις ἔσεσθαι, καὶ μεγάλην αὐτῷ δόξαν, εἰ καὶ τύχοι πταίσας, τό γε ἐγχείρημα οἴσειν· λεγόμενος δὲ καὶ ὑπὸ τοῦ πατρὸς ἐπὶ βωμῶν ἔτι παῖς ὁρκωθῆναι, ῥωμαίοις ἐπιβουλεύων οὔποτ' ἐκλείψειν ἐπενόει παρὰ τὰς σπονδὰς τὸν ἴβηρα διαβῆναι. καὶ παρεσκεύαζέ τινας ἐς πρόφασιν κατηγορεῖν ζακανθαίων· γράφων τε ταῦτα συνεχῶς ἐς καρχηδόνα, καὶ προστιθεὶς ὅτι ῥωμαῖοι κρύφα τὴν ἰβηρίαν αὐτὴν ἀφιστᾶσιν, ἔτυχε παρὰ καρχηδονίων πράσσειν ὅ, τι δοκιμάσειεν. ὁ μὲν δὴ τὸν ἴβηρα διαβὰς, τὴν ζακανθαίων πόλιν ἡβηδὸν διέφθειρε. ῥωμαίοις δὲ καὶ καρχηδονίοις ἐπὶ τῷδε ἐλέλυντο αἱ σπονδαὶ, αἱ γενόμεναι αὐτοῖς μετὰ τὸν πόλεμον τὸν ἐν σικελίᾳ. Αννίβας δὲ ὅσα μὲν αὐτὸς καὶ οἱ μετ' αὐτὸν ἄλλοι Καρχηδονίων τε καὶ ῥωμαίων στρατηγοὶ περὶ ἰβηρίαν ἔπραξαν, ἡ ἰβηρικὴ γραφὴ δηλοῖ. ἐπιλεξάμενος δὲ κελτιβήρων τε καὶ λιβύων καὶ ἑτέρων ἐθνῶν ὅτι πλείστους, καὶ τὰ ἐν ἰβηρίᾳ παραδοὺς Ασδρούβᾳ τῷ ἀδελφῷ, τὰ πυρηναῖα ὄρη διέβαινεν

ἐς τὴν κελτικήν, τὴν νῦν λεγομένην γαλατίαν, ἄγων πεζοὺς ἐννεακισμυρίους καὶ ἱππέας ἐς δισχιλίους ἐπὶ μυρίοις, καὶ ἐλέφαντας ἑπτὰ καὶ τριάκοντα· γαλατῶν δὲ τοὺς μὲν ὠνούμενος, τοὺς δὲ πείθων, τοὺς δὲ καὶ βιαζόμενος, διώδευε τὴν χώραν. ἐξελθὼν δὲ ἐπὶ τὰ ἄλπια ὄρη, καὶ μηδεμίαν μήτε δίοδον μήτε ἄνοδον εὑρὼν (ἀπόκρημνα γάρ ἐστιν ἰσχυρῶς) ἐπέβαινε κἀκείνοις, ὑπὸ τόλμης κακοπαθῶν· χιόνος τε πολλῆς οὔσης καὶ κρύους, τὴν μὲν ὕλην τέμνων τε καὶ κατακαίων, τὴν δὲ τέφραν σβεννὺς ὕδατι καὶ ὄξει, καὶ τὴν πέτραν ἐκ τοῦδε ψαφαρὰν γιγνομένην, σφύραις σιδηραῖς θραύων καὶ ὁδοποιῶν, ἣ καὶ νῦν ἐστιν ἐπὶ τῶν ὀρῶν ἐντριβής, καὶ καλεῖται δίοδος Ἀννίβου· τῶν δὲ τροφῶν αὐτὸν ἐπιλιπουσῶν, ἠπείγετο μὲν, ἔτι λανθάνων ὅτι καὶ πάρεστιν ἐς τὴν ἰταλίαν· ἕκτῳ δὲ μόλις ἀπὸ τῆς ἐξ ἰβήρων ἀναστάσεως μηνὶ πλείστους ἀποβαλὼν, ἐς τὸ πεδίον ἐκ τῶν ὀρῶν κατέβαινεν. καὶ μικρὸν ἀναπαύσας, περιέβαλλε ταυρασίᾳ πόλει κελτικῇ. κατὰ κράτος δὲ αὐτὴν ἑλὼν, τοὺς μὲν αἰχμαλώτους ἔσφαξεν, ἐς κατάπληξιν τῆς ἄλλης κελτικῆς· ἐπὶ δὲ ποταμὸν ἠριδανὸν, τὸν νῦν πάδον λεγόμενον, ἐλθὼν, ἔνθα ῥωμαῖοι κελτοῖς τοῖς καλουμένοις βοιοῖς ἐπολέμουν, ἐστρατοπέδευσεν. ὁ δ' ὕπατος ὁ ῥωμαίων Πούπλιος Κορνήλιος Σκιπίων καρχηδονίοις ἐν ἰβηρίᾳ πολεμῶν, ἐπεὶ τῆς ἐσβολῆς Ἀννίβου τῆς ἐς τὴν ἰταλίαν ἐπύθετο, τὸν ἀδελφὸν καὶ ὅδε Γναῖον Κορνήλιον Σκιπίωνα ἐπὶ τοῖς ἐν ἰβηρίᾳ πράγμασι καταλιπὼν, διέπλευσεν ἐς τυρρηνίαν. ὅθεν ὁδεύων τε καὶ συμμάχους ὅσους δύναιτο ἀγείρων, ἔφθασεν ἐπὶ τὸν πάδον Ἀννίβαν· καὶ Μάλιον μὲν καὶ Ἀτίλιον, οἳ τοῖς βοιοῖς ἐπολέμουν, ἐς ῥώμην ἔπεμψεν, ὡς οὐ δέον αὐτοὺς ἔτι στρατηγεῖν, ὑπάτου παρόντος· αὐτὸν δὲ τὸν στρατὸν παραλαβὼν, ἐς μάχην ἐξέτασσεν πρὸς Ἀννίβαν. καὶ γιγνομένης

ἀκροβολίας τε καὶ ἱππομαχίας, οἱ ῥωμαῖοι κυκλωθέντες ὑπὸ τῶν λιβύων, ἔφυγον ἐς τὸ στρατόπεδον· καὶ νυκτὸς ἐπιγενομένης, ἐς πλακεντίαν ἀνεχώρουν, ἀσφαλῶς τετειχισμένην, τὸν πάδον ἐπὶ γεφυρῶν περάσαντές τε καὶ λύσαντες τὰς γεφύρας. τὸν μὲν οὖν ποταμὸν καὶ ὁ Αννίβας ζεύξας ἐπέρα· τὸ δ᾽ ἔργον εὐθὺς τόδε πρῶτον ἢ δεύτερον ἐπὶ τῇ τῶν ἀλπίων ὀρῶν διαβάσει παρὰ τοῖς ἐπέκεινα κελτῶν ἐξῆρε τὸν Αννίβαν, ὡς ἄμαχον στρατηγὸν καὶ τύχῃ λαμπρᾷ χρώμενον. ὁ δὲ, ὡς ἐν βαρβάροις τε καὶ τεθηπόσιν αὐτὸν, καὶ δι᾽ ἄμφω δυναμένοις ἀπατᾶσθαι, τὴν ἐσθῆτα καὶ τὴν κόμην ἐνήλλαστε συνεχῶς ἐσκευασμέναις ἐπινοίαις. καὶ αὐτὸν οἱ κελτοὶ περιιόντα τὰ ἔθνη, πρεσβύτην ὁρῶντες, εἶτα νέον, εἶτα μεσαιπόλιον, καὶ συνεχῶς ἕτερον ἐξ ἑτέρου, θαυμάζοντες, ἐδόκουν θειοτέρας φύσεως λαχεῖν. Σεμπρώνιος δὲ ὁ ἕτερος ὕπατος ἐν σικελίᾳ τότε ὢν, καὶ πυθόμενος, διέπλευσε πρὸς τὸν Σκιπίωνα, καὶ τεσσαράκοντα σταδίους αὐτοῦ διαρχὼν ἐστρατοπέδευσε. καὶ τῆς ἐπιούσης ἔμελλον ἅπαντες εἰς μάχην ἥξειν· ποταμὸς δ᾽ ἦν ἐν μέσῳ τρεβίας, ὃν ῥωμαῖοι πρὸ ἕω, χειμερίου τε τῆς ὥρας οὔσης καὶ ὑετοῦ καὶ κρύους, ἐπέραν, βρεχόμενοι μέχρι τῶν μαστῶν. Αννίβας δὲ καὶ ἐς δευτέραν ὥραν ἀνέπαυσε τὴν στρατιὰν, καὶ τότε ἐξῆγε. παράταξις δὲ ἦν ἑκατέρων, τὰ κέρατα κατεῖχον, ἀμφὶ τὴν φάλαγγα τῶν πεζῶν. Αννίβας δὲ τοῖς μὲν ἱππεῦσιν ἀντέταξε τοὺς ἐλέφαντας, τῇ δὲ φάλαγγι τοὺς πεζοὺς, τοὺς δὲ ἱππέας ἐκέλευσεν ὀπίσω τῶν ἐλεφάντων ἀτρεμεῖν, ἕως αὐτὸς τι σημήνῃ. γενομένων δὲ ἐν χερσὶ πάντων, οἱ μὲν ῥωμαίων ἵπποι τοὺς ἐλέφαντας, οὐ φέροντες αὐτῶν οὔτε τὴν ὄψιν, οὔτε τὴν ὀσμὴν, ἔφευγον· οἱ δὲ πεζοὶ, καίπερ ὑπὸ τοῦ κρύους καὶ τοῦ ποταμοῦ καὶ τῆς ἀγρυπνίας τετρυμμένοι καὶ μαλακοὶ ὄντες, ὅμως ὑπὸ τόλ-

μης τοῖς θηρίοις ἐπιπήδων, καὶ ἐτίτρωσκον αὐτά· καὶ τινῶν καὶ τὰ νεῦρα ὑπέκοπτον, καὶ τοὺς πεζοὺς ἀνέκλινον ἤδη. θεασάμενος δὲ ὁ Ἀννίβας, ἐσήμαινε τὴν ἵππον κυκλοῦσθαι τοὺς πολεμίους. ἐσκεδασμένων δ' ἄρτι τῶν ῥωμαϊκῶν ἱππέων διὰ τὰ θηρία, καὶ τῶν πεζῶν μόνων τε ὄντων καὶ κακοπαθούντων καὶ δεδιότων τὴν περικύκλωσιν, φυγὴ πανταχόθεν ἦν ἐς τὰ στρατόπεδα. καὶ ἀπώλλυντο οἱ μὲν ὑπὸ τῶν ἱππέων καταλαμβανόντων, ἅτε πεζούς, οἱ δὲ ὑπὸ τοῦ ποταμοῦ παραφέροντος (τοῦ γὰρ ἡλίου τὴν χιόνα τήξαντος, ὁ ποταμὸς ἐρρύη μέγας) οὔτε στῆναι διὰ τὸ βάθος, οὔτε νεῖν διὰ τὰ ὅπλα ἐδύναντο. Σκιπίων δὲ αὐτοῖς ἑπόμενος καὶ παρακαλῶν, ὀλίγου μὲν ἐδέησε τρωθεὶς διαφθαρῆναι, μόλις δ' ἐς κρεμῶνα διεσώθη φερόμενος. ἐπίνειον δὲ ἦν τι βραχὺ πλακεντίας· ᾧ προσβαλὼν ὁ Ἀννίβας ἀπώλεσε τετρακοσίους, καὶ αὐτὸς ἐτρώθη. καὶ ἀπὸ τοῦδε πάντες ἐχείμαζον· Σκιπίων μὲν ἐν κρεμῶνι καὶ πλακεντίᾳ, Ἀννίβας δὲ περὶ πάδον. οἱ δὲ ἐν ἄστει ῥωμαῖοι, πυθόμενοι, καὶ τρίτον ἤδη πταίοντες περὶ πάδον (ἥσσηντο γὰρ δὴ καὶ ὑπὸ βοιῶν πρὸ Ἀννίβου) στρατιάν τε παρ' αὐτῶν ἄλλην κατέλεγον, σὺν τοῖς οὖσι περὶ τὸν πάδον, ὡς εἶναι τρία καὶ δέκα τέλη· καὶ τοῖς συμμάχοις ἑτέραν διπλασίονα ταύτης ἐπήγγελλον. ἤδη δὲ αὐτοῖς τὸ τέλος εἶχε πεζοὺς πεντακισχιλίους καὶ ἱππέας τριακοσίους· καὶ τούτων τοὺς μὲν ἐς ἰβηρίαν ἔπεμπον, τοὺς δ' ἐς σαρδόνα, κἀκείνην πολεμουμένην· τοὺς δ' ἐς σικελίαν· τὰ πλέονα δ' ἦγον ἐπὶ τὸν Ἀννίβαν οἱ μετὰ Σκιπίωνα καὶ Σεμπρώνιον αἱρεθέντες ὕπατοι Σερουίλιός τε Γναῖος καὶ Γάϊος Φλαμίνιος· ὧν ὁ μὲν Σερουίλιος ἐπὶ τὸν πάδον ἐπειχθείς, τὴν στρατηγίαν ἐκδέχεται παρὰ τοῦ Σκιπίωνος· ὁ δὲ Σκιπίων, ἀνθύπατος αἱρεθείς, ἐς ἰβηρίαν διέπλευσεν· Φλαμίνιος δὲ τρισμυρίοις τε πεζοῖς καὶ τρισχιλίοις ἱππεῦσι τὴν ἐντὸς Ἀππεννίνων ὀρῶν ἰταλίαν ἐφύλασσεν. ἣν δὴ μόνην ἄν τις εἴποι κυρίως ἰταλίαν·

τὰ γὰρ ἀπεννῖνα κατέρχεται μὲν ἐκ μέσων τῶν ἄλπεων ἐπὶ θάλασσαν· ἔστι δ' αὐτῶν τὰ μὲν ἐπὶ δεξιᾶ πάντα, καθαρῶς ἰταλία, τὰ δὲ ἐπὶ θάτερα ἐς τὸν ἰόνιον φθάνοντα, νῦν μὲν ἔστι καὶ ταῦτα ἰταλία (ὅτι καὶ τυρρηνία νῦν ἰταλία) οἰκοῦσι δ' αὐτῶν τὰ μὲν ἕλληνες ἀμφὶ τὴν ἰόνιον ἀκτήν, τὰ δὲ λοιπὰ κελτοί, ὅσοι τῇ ῥώμῃ τὸ πρῶτον ἐπιθέμενοι, τὴν πόλιν ἐνέπρησαν. ὅτε γὰρ αὐτοὺς ἐξελαύνων Κάμιλλος ἐδίωκε μέχρι τῶν ἀπεννίνων ὀρῶν, ἐμοὶ δοκοῦσιν, ὑπερβάντες αὐτά, ἀντὶ ἠθῶν τῶν ἰδίων περὶ τὸν ἰόνιον οἰκῆσαι, καὶ τὸ μέρος τῆς χώρας, ἔτι νῦν οὕτως καλοῦσιν, ἰταλίαν γαλατικήν. ῥωμαῖοι μὲν δὴ μεγάλοις στρατοῖς ἐς πολλὰ ὁμοῦ διῄρηντο· Ἀννίβας δὲ τούτων αἰσθόμενος, ἅμα τῷ ἦρι τοὺς ἄλλους λαθὼν, ἐδῄου τὴν τυρρηνίαν, καὶ προὔβαινεν ἐς τὸ μέρος τὸ ἐπὶ ῥώμης. οἱ δὲ, πλησιάζοντος αὐτοῦ, πάνυ ἔδεισαν, οὐ παρούσης σφίσιν ἀξιομάχου δυνάμεως· ἐστράτευον δὲ ὅμως ἐκ τῶν ὑπολοίπων ὀκτακισχιλίους· καὶ Κεντήνιον αὐτοῖς ἕνα τῶν ἐπιφανῶν ἰδιωτῶν, οὐδεμιᾶς ἀρχῆς παρούσης, ἐπέστησάν τε καὶ ἐξέπεμπον ἐς ὀμβρικοὺς ἐς τὴν πλειστίνην λίμνην, τὰ στενὰ προληψόμενον, ᾗ συντομώτατον ἐστὶν ἐπὶ τὴν ῥώμην. ἐν δὲ τούτῳ καὶ Φλαμίνιος ὁ τοῖς τρισμυρίοις τὴν ἐντὸς ἰταλίαν φυλάσσων, αἰσθόμενος τῆς σπουδῆς Ἀννίβου, μετέβαινεν ὀξέως, οὐ διαναπαύων τὴν στρατιάν, δέει τε περὶ τῆς πόλεως, καὶ αὐτὸς ὢν ἀπειροπόλεμός τε, καὶ ἐς τὴν ἀπὸ δοξοκοπίας ᾑρημένος, ἠπείγετο Ἀννίβᾳ συμπλακῆναι· ὁ δὲ αἰσθόμενος αὐτοῦ τῆς τε ὁρμῆς καὶ ἀπειρίας, ὄρος μέν τι καὶ λίμνην προὐβάλλετο πρὸ ἑαυτοῦ, ψιλοὺς δὲ καὶ ἱππέας ἐς φάραγγα ἀποκρύψας, ἐστρατοπέδευεν· καὶ αὐτὸν ὁ Φλαμίνιος κατιδὼν ἅμα ἕω, σμικρὸν μέν τι διέτριψε, καὶ στρατὸν ἀναπαύων ἐξ ὁδοιπορίας, καὶ χάρακα ποιούμενος· μετὰ δὲ τοῦτο ἐξῆγεν εὐθὺς ἐπὶ τὴν μάχην αὐτοὺς ὄντας ἀπ' ἀγρυπνίας καὶ κόπου. τῆς δ' ἐνέδρας ἐκφαιέ-

σης, ἐν μέσῳ ληφθεὶς τοῦ τε ὄρους καὶ τῆς λίμνης καὶ τῶν ἐ-
χθρῶν, αὐτός τε ἀνῃρέθη καὶ σὺν αὐτῷ δισμύριοι. τοὺς δὲ λοι-
ποὺς ἐπὶ μυρίους ἔς τινα κώμην ὀχυρὰν συμφυγόντας Μα-
άρβαν ὁ ὑποστράτηγος Ἀννίβου, μεγίστην καὶ ὅδε ἐπὶ στρατη-
γίᾳ δόξαν ἔχων, οὐ δυνάμενος ἑλεῖν ἀνὰ κράτος, οὐδὲ ἀξιῶν ἀ-
πεγνωκόσι μάχεσθαι, ἔπεισε τὰ ὅπλα ἀποθέσθαι, συνθέμενος
ἀπολύσειν ὅποι θέλοιεν. ὡς δὲ ἀπέθεντο, λαβὼν ἦγεν αὐτοὺς
πρὸς τὸν Ἀννίβαν γυμνούς. ὁ δ᾽ οὐ φάμενος εἶναι κύριον χω-
ρὶς αὐτοῦ ταῦτα συνθέσθαι τὸν Μαάρβαν, τοὺς μὲν ἐκ τῶν συμ-
μάχων φιλανθρωπευσάμενος, ἀπέλυσεν ἐς τὰ ἑαυτῶν, θη-
ρώμενος τῇ φιλανθρωπίᾳ τὰς πόλεις· ὅσοι δὲ ῥωμαῖοι ἦ-
σαν, εἶχε δήσας. τὴν δὲ λείαν τοῖς συστρατεύουσι κελτοῖς ἀπο-
δόμενος, ἵνα καὶ τούσδε θεραπεύσειε τῷ κέρδει, προὔβαινεν ἐς
τὸ πρόσθεν· αἰσθομένου μὲν ἤδη τῶν γιγνομένων τοῦ περὶ Πάδον
στρατηγοῦ Σερουιλίου, καὶ τετρακισμυρίοις ἐπὶ Τυῤῥηνίας
ἐπειγομένου, Κεντηνίου δὲ ἤδη τοῖς ὀκτακισχιλίοις τὰ στενὰ
προειληφότος. Ἀννίβας δέ, ἐπειδὴ τήν τε λίμνην εἶδε τὴν
πλειστίνην, καὶ τὸ ὄρος τὸ ὑπὲρ αὐτήν, καὶ τὸν Κεντήνιον
ἐν μέσῳ κρατοῦντα τῆς διόδου, τοὺς ἡγεμόνας τῶν ὁδῶν
ἐξήταζεν εἴ τις εἴη περίοδος. οὐδεμίαν δὲ φαμένων εἶναι
τρίβον, ἀλλὰ ἀπόκρημνα πάντα καὶ φαραγγώδη, δι᾽ αὐ-
τῶν ὅμως ἔπεμπε τοὺς ψιλοὺς νύκτωρ τὸ ὄρος περιϊέναι, καὶ
Μαάρβαν μετὰ τῶν. τεκμηράμενος δ᾽ ὅτι δύναιντο περιελ-
θεῖν, προσέβαλε τῷ Κεντηνίῳ κατὰ μέτωπον, καὶ συνεστώ-
των ἑκατέρων, πάνυ προθύμως ὁ Μαάρβας ἐκ κορυφῆς
ἄνωθεν ὤφθη τε καὶ ἠλάλαξεν. ῥωμαίων δ᾽ εὐθὺς ἦν φυ-
γή, καὶ φόνος κυκλουμένων· καὶ τρισχίλιοι μὲν ἔπεσον, ὀ-
κτακόσιοι δ᾽ ἐλήφθησαν· οἱ δὲ λοιποί, μόλις διέφυγον. πυθό-
μενοι δὲ οἱ ἐν ἄστει, καὶ δείσαντες μὴ εὐθὺς ἐπὶ τὴν πόλιν ὁ
Ἀννίβας ἔλθοι, τό, τε τεῖχος ἐπλήρουν λίθων, καὶ τοὺς γέροντας

ὥπλιζον, ὅπλων μὲν ἀπορούντες, τὰ δὲ λάφυρα ἐκ τῶν ἱερῶν καταφέροντες, ἃ ἐκ πολέμων ἄλλων κόσμος αὐτοῖς περιέκειτο· δικτάτορά τε, ὡς ἐν κινδύνῳ, Φάβιον εἵλοντο Μάξιμον. Ἀννίβας δὲ, θεοῦ παραγαγόντος αὐτὸν, ἐπὶ τὸν ἰόνιον αὖθις ἐτράπη, καὶ τὴν παράλιον ὁδεύων ἐπόρθει, λείαν τε περιήλαυνε πολλήν. Σερουίλιος δὲ ὕπατος ἀντιπαριὼν αὐτῷ, κατῆρεν εἰς ἀρίμινον, ἀπέχων Ἀννίβου μίαν ἡμέραν, ἔνθα τὴν στρατιὰν συνεῖχε, καὶ τοὺς ἔτι φίλους Κελτῶν ἀπεθάρρυνεν. ἕως ἀφικόμενος Φάβιος Μάξιμος ὁ δικτάτωρ Σερουίλιον μὲν ἐς ῥώμην ἔπεμπεν, ὡς οὔτε ὕπατον, οὔτε στρατηγὸν ἔτι ὄντα, δικτάτορος ᾑρημένου· αὐτὸς δὲ τῷ Ἀννίβᾳ παρακολουθῶν, ἐς μὲν χεῖρας οὐκ ᾔει, πολλάκις ἐκείνου προκαλουμένου· πολιορκεῖν δὲ οὐδένα εἴα, παραφυλάσσων καὶ ἐπικείμενος. ὁ δὲ, τῆς χώρας ἐξαναλωμένης, τροφῶν ἠπόρει, καὶ αὐτὴν αὖθις περιιὼν, ἑκάστης ἡμέρας ἐξέτασσε, προκαλούμενος ἐς μάχην. Φάβιος δὲ οὐ συνεπλέκετο, καταγινώσκοντος αὐτοῦ Μινουκίου Ῥούφου, ὃς ἵππαρχος μὲν ἦν αὐτῷ, ἔγραφε δὲ ἐς ῥώμην τοῖς φίλοις ὡς ὀκνοίη Φάβιος ὑπὸ δειλίας· διαδραμόντος δὲ ἐς ῥώμην ἐπὶ θυσίας τινὰς τοῦ Φαβίου, ὁ Μινούκιος ἡγούμενος τοῦ στρατοῦ, συνεπλάκη τινὰ μάχην τῷ Ἀννίβᾳ, καὶ δόξας πλέον ἔχειν, θρασύτερον ἐς ῥώμην ἐπέστελλε τῇ βουλῇ, τὸν Φάβιον αἰτιώμενος, οὐκ ἐθέλοντα νικῆσαι. καὶ ἡ βουλὴ, ἐπανεληλυθότος ἐς τὸ στρατόπεδον ἤδη τοῦ Φαβίου, ἴσον ἰσχύειν αὐτῷ τὸν ἵππαρχον ἀπέφηνεν. οἱ μὲν δὴ, μερισάμενοι τὴν στρατιὰν, πλησίον ἀλλήλων ἐστρατοπέδευον, καὶ τῆς γνώμης ἑκάτερος εἴχοντο τῆς ἑαυτοῦ, Φάβιος μὲν ἐκτρύχειν Ἀννίβαν τῷ χρόνῳ, καὶ πειρᾶσθαι μηδὲν ὑπ' αὐτοῦ παθεῖν· ὁ δὲ Μινούκιος, μάχῃ διακριθῆναι. συνιόντος δὲ ἐς μάχην τοῦ Μινουκίου, Φάβιος τὸ μέλλον ἔσεσθαι προορῶν, ἐν μέσῳ τὴν

στρατιὰν ἀτρεμοῦσαν ἔστησε τὴν ἑαυτοῦ, καὶ τοὺς τοῦ Μινουκίου φεύγοντας ὑπελάμβανεν, τοὺς δ' Ἀννίβου διώκοντας ἀπεκρούετο. καὶ Φάβιος μὲν ὧδε τὴν συμφορὰν ἐπεκούφισε τῷ Μινουκίῳ, οὐδὲν ἐπιμεμψάμενος τῆς διαβολῆς· ὁ δὲ Μινούκιος αὑτοῦ καταγνοὺς ἀπειρίαν, ἀπέθετο τὴν ἀρχὴν, καὶ τὸ μέρος τοῦ στρατοῦ παρέδωκε τῷ Φαβίῳ ἡγούμενος πρὸς ἄνδρα τεχνίτην. οὗ δὴ καὶ ὁ Σεβαστὸς ὕστερον πολλάκις ἐμέμνητο, οὐκ ὢν ἀχερὴς οὐδ' οὗτος ἐς μάχας ἢ μᾶλλον τόλμῃ τέχνῃ χρῆσθαι. Φάβιος μὲν οὖν αὖθις ὁμοίως ἐφύλασσε τὸν Ἀννίβαν, καὶ τὴν χώραν πορθεῖν ἐκώλυεν, οὐ συμπλεκόμενος αὐτοῦ τῷ στρατῷ παντὶ, τοῖς δ' ἀποσκιδναμένοις μόνοις ἐπιτιθέμενος· καὶ σαφῶς εἰδὼς ἀπορήσοντα τροφῶν αὐτίκα τὸν Ἀννίβαν. στενῆς δὲ διόδου πλησιαζούσης, ὁ μὲν Ἀννίβας αὐτὴν οὐ προεῖδετο, Φάβιος δὲ προπέμψας τετρακισχιλίους, κατέλαβε, καὶ τοῖς λοιποῖς αὐτοῖς ἐπὶ θάτερα ἐστρατοπέδευεν ἐπὶ λόφου καρτεροῦ. ὁ δὲ Ἀννίβας, ὡς ᾔσθετο ληφθεὶς ἐν μέσῳ Φαβίου τε καὶ τῶν στενῶν φυλασσομένων, ἔδεισε μὲν ὡς οὔποτε πρότερον· (οὐ γὰρ εἶχε διέξοδον, ἀλλὰ πάντα ἦν ἀποκρήμνα καὶ δύσβατα, οὐδ' ἤλπιζε Φάβιον ἢ τοὺς ἐπὶ τῶν στενῶν βιάσασθαι διὰ τὴν τῶν χωρίων ὀχυρότητα·) ὧδε δὲ ἔχων ἀπορίας, τοὺς μὲν αἰχμαλώτους ἐς πεντακισχιλίους ὄντας κατέσφαξεν, ἵνα μὴ ἐν τῷ κινδύνῳ νεωτερίσειαν, βοῦς δὲ ὅσας εἶχεν ἐν τῷ στρατοπέδῳ (πολὺ δὲ πλῆθος ἦν) τοῖς κέρασιν αὐτῶν δᾶδας περιέθηκε, καὶ νυκτὸς ἐπιγιγνομένης τὰς δᾶδας ἐξάψας, τὸ λοιπὸν ἐν τῷ στρατοπέδῳ πῦρ ἔσβεσεν, καὶ σιγὴν βαθεῖαν ἔχειν παρήγγειλε. τοῖς δ' εὐτολμοτάτοις τῶν νέων ἐκέλευσε τὰς βοῦς ἐλαύνειν μετὰ σπουδῆς ἄνω πρὸς τὰ ἀπόκρημνα, ἃ ἦν ἐν μέσῳ τοῦ τε Φαβίου καὶ τῶν στενῶν. αἱ δ' ὑπό τε τῶν ἐλαυνόντων ἐπειγόμεναι, καὶ τοῦ πυρὸς ἐκκαίοντος αὐτὰς, ἀνεπήδων ἐπὶ τοὺς κρημνοὺς ἀφειδῶς καὶ βιαίως, εἶτα κατέπιπτον,

αὖθις

αὖθις ἀφεπήδων. ῥωμαῖοι δὲ οἱ ἑκατέρωθεν ὁρῶντες, ἐν μὲν τῷ Ἀννίβου στρατοπέδῳ σιγὴν καὶ σκότον, ἐν δὲ τοῖς ὄρεσι πῦρ πολὺ καὶ ποικίλον, οὐκ ἔχοντες, ὡς ἐν νυκτὶ, τὸ γινόμενον ἀκριβῶς ἐπινοῆσαι· ὁ μὲν Φάβιος εἴκαζεν εἶναί τι στρατήγημα τοῦτο Ἀννίβου, καὶ συνεῖναι μὴ δυνάμενος, ἀτρέμα συνεῖχε τὴν στρατιὰν, τὴν νύκτα ὑφορώμενος· οἱ δ᾽ ἐν τοῖς στενοῖς, ὑπέλαβον ἅπερ ἤθελεν ὁ Ἀννίβας, φεύγειν αὐτὸν, ὡς ἐν ἀπόροις, ἄνω διὰ τῶν κρημνῶν βιαζόμενον· καὶ μετεπήδων, ἐπὶ τὴν φαντασίαν τοῦ πυρὸς καταθέοντες, ὡς ἐκεῖ ληψόμενοι τὸν Ἀννίβαν κακοπαθοῦντα. ὁ δὲ, ὡς εἶδε καταβάντας αὐτοὺς ἐκ τῶν στενῶν, διέδραμεν ἐς αὐτὰ τοῖς ταχυτάτοις ἄνευ φωτὸς μετὰ σιωπῆς, ἵνα διαλάθοι. καταλαβὼν δὲ αὐτὰ καὶ κρατυνάμενος, ἐσήμαινε τῇ σάλπιγγι, καὶ τὸ στρατόπεδον ἀντεβόησεν αὐτῷ, καὶ πῦρ αἰφνίδιον ἐξέφηνεν. ῥωμαῖοι μὲν δὴ τότε ᾔσθοντο τῆς ἀπάτης· ὁ δὲ στρατὸς ὁ ἄλλος Ἀννίβου, καὶ οἱ τὰς βοῦς ἐλαύνοντες, ἐπὶ τὰ στενὰ ἀδεῶς διέδραμον· καὶ αὐτοὺς συναγαγὼν ἀπῆρεν ἐς τὸ πρόσω. οὕτω μὲν ἐξ ἀέλπτου τότε ὁ Ἀννίβας, αὐτός τε περιῆν καὶ τὸν στρατὸν περιέσωζε· καὶ ἐς Γερωνίαν τῆς Ἰαπυγίας ἐπειχθεὶς, ἣ σίτου πλήρης ἦν, ἐξεῖλεν αὐτὴν· καὶ ἐν ἀφθόνοις ἀδεῶς ἐχείμαζεν. ὁ δὲ Φάβιος, καὶ τότε τῆς αὐτῆς γνώμης ἐχόμενος, εἵπετο, καὶ τῆς Γερωνίας ἀποσχὼν δέκα σταδίους ἐστρατοπέδευεν, λαβὼν ἐν μέσῳ ποταμὸν ὅριον. ληγόντων δὲ αὐτῷ τῶν ἓξ μηνῶν, ἐφ᾽ οὓς αἱροῦνται ῥωμαῖοι τοὺς δικτάτωρας, οἱ μὲν ὕπατοι Σερουΐλιός τε καὶ Ἀτίλιος ἐπὶ τὰς ἑαυτῶν ἀρχὰς ἐπανῄεσαν, καὶ ἦλθον ἐπὶ τὸ στρατόπεδον, καὶ ὁ Φάβιος ἐς ῥώμην ἀπῄει. γίνονται δέ τινες ἐν τῷδε τῷ χειμῶνι Ἀννίβα καὶ ῥωμαίοις ἀκροβολισμοὶ συνεχεῖς ἐς ἀλλήλους· καὶ τὰ ῥωμαίων ἐπικυδέστερα καὶ εὐθαρσέστερα ἦν. ὁ δ᾽ Ἀννίβας ἐπέστελλε μὲν ἀεὶ τὰ γιγνόμενα καρχηδονίοις ὑπεραίρων· τότε δὲ ἀπολωλότων αὐτῷ πολλῶν, ἠπόρει, καὶ στρατιὰν ᾔτει καὶ χρή-

ματα. οἱ δὲ ἐχθροὶ, πάντα ἐπισκώπτοντες τὰ Αννίβου, καὶ τότε ὑπεκρίνοντο ἀπορεῖν, ὅτι τῶν νικώντων ἐκ αἰτούντων χρήματα, ἀλλὰ πεμπόντων ἐς τὰς πατρίδας, ὁ Αννίβας αἰτοίη, λέγων νικᾶν. οἷς οἱ καρχηδόνιοι πεισθέντες, οὔτε στρατιὰν ἔπεμπον, οὔτε χρήματα. καὶ ὁ Αννίβας τοῦτ' ὀδυρόμενος, ἔγραφεν ἐς ἰβηρίαν Ασδρούβᾳ τῷ ἀδελφῷ, παρακαλῶν αὐτὸν, ἀρχομένου θέρους μεθ' ὅσης δύναιτο στρατιᾶς καὶ χρημάτων ἐσβαλεῖν ἐς τὴν ἰταλίαν, καὶ πορθεῖν αὐτῆς τὰ ἐπέκεινα, ἵνα δῃῶτο πᾶσα, καὶ ῥωμαῖοι κάμνοιεν ὑπ' αὐτῶν ἑκατέρωθεν. καὶ τάδε μὲν ἦν περὶ Αννίβαν· ῥωμαῖοι δὲ τῷ τε μεγέθει τῆς ἥττης Φλαμινίου καὶ Κεντηνίου περιαλγοῦντες, ὡς ἀνάξια σφῶν καὶ παράλογα καὶ ἀθρόα παθόντες, καὶ τὸν πόλεμον ὅλως οὐ φέροντες ἔνδον ὄντα παρ' ἑαυτοῖς, ἄλλα τε κατέλεγον ἐκ ῥώμης τέλη στρατιωτῶν τέσσαρα μετ' ὀργῆς ἐπὶ τὸν Αννίβαν, καὶ τοὺς συμμάχους πανταχόθεν ἤγειρον ἐς ἰαπυγίαν· ὑπάτους τε αἱροῦνται, ἐκ μὲν δόξης πολεμικῆς Λεύκιον Αἰμίλιον τὸν ἰλλυριοῖς πολεμήσαντα, ἐκ δὲ δημοκοπίας Τερέντιον Οὐάρρωνα, πολλὰ αὐτοῖς ἐκ τῆς συνήθους δοξοκοπίας ὑπισχνούμενον· καὶ αὐτοὺς παραπέμποντες ἐξιόντας, ἐδέοντο κρῖναι τὸν πόλεμον μάχῃ, καὶ μὴ τὴν πόλιν ἐκτρύχειν χρόνῳ τε καὶ στρατείαις συνεχέσι, καὶ εἰσφοραῖς καὶ λιμῷ, καὶ ἀργίᾳ τῆς γῆς δῃουμένης. οἱ δὲ, τὴν στρατιὰν τὴν ἐν ἰαπυγίᾳ προσλαβόντες, καὶ τὸ σύμπαν, ἔχοντες πεζοὺς μὲν ἑπτακισμυρίους, ἱππέας δ' ἑξακισχιλίους, ἐστρατοπέδευον ἀμφὶ κώμῃ τινὶ καλουμένῃ κάνναις· καὶ ὁ Αννίβας αὐτοῖς ἀντεστρατοπέδευε. φύσει δὲ ὢν φιλοπόλεμος ὁ Αννίβας, καὶ οὔποτε φέρων ἀργίαν, τότε μάλιστα τῆς ἀπορίας αὐτὸν ἐνοχλούσης, ἐξέτασσε συνεχῶς ἐς μάχην, δεδιὼς μὴ οἱ μισθοφόροι μετάθοιντο διὰ τὴν ἀμισθίαν, ἢ σκεδασθεῖεν ἐπὶ συλλογὴν ἀγορᾶς. καὶ ὁ μὲν οὕτω προυκαλεῖτο τοὺς πολεμίους· γνώμη δὲ τῶν ὑπάτων ἦν,

Αἰμιλίου μὲν, ὑπομένειν ἐκτρύχοντας Αννίβαν, οὐ δυνησόμενον ἀντέχειν ἐπὶ πολὺ διὰ τὴν ἀπορίαν, μηδὲ διὰ χερὸς ἔρχεσθαι γεγυμνασμένῳ πολέμοις καὶ εὐτυχίαις ἀνδρὶ καὶ στρατῷ· Τερεντίου δ᾽ οἷα δημοκόπου, μνημονεύειν ὧν ὁ δῆμος ἐξιοῦσιν ἐνετέλλετο, καὶ κρῖναι τὴν μάχην ὀξέως. τούτοιν, Αἰμιλίῳ μὲν προσετίθετο Σερουίλιος ὁ πέρυσιν ὕπατος, ἔτι παρών· Τερεντίῳ δὲ ὅσοι τε ἀπὸ βουλῆς καὶ τῶν καλουμένων ἱππέων ἡγοῦντο τῆς στρατιᾶς. ἀντεχόντων δ᾽ ἔτι τῶν ἑτέρων, ὁ Αννίβας τοῖς χορτολογοῦσιν αὐτῶν ἢ ξυλευομένοις ἐπιτιθέμενος, ὑπεκρίνετο ἡττᾶσθαι· καὶ περὶ ἐσχάτην ποτὲ φυλακὴν ἐκίνει τὸ πλῆθος, ὡς ἀναζευγνύς· ὁ δὲ Τερέντιος ἰδὼν, ἐξῆγε τὴν στρατιὰν ὡς ἐπὶ φεύγοντα τὸν Αννίβαν, ἀπαγορεύοντος αὐτῷ καὶ τότε τοῦ Αἰμιλίου. ὡς δὲ οὐκ ἔπειθεν, οἰωνίζετο ὁ Αἰμίλιος ἐφ᾽ ἑαυτοῦ, καθάπερ εἰώθασιν· καὶ πέμψας ὁδεύοντι ἤδη τῷ Τερεντίῳ τὴν ἡμέραν ἀπαίσιον ἔλεγεν εἶναι. ὁ δ᾽ ἐπανήει μὲν, αἰδούμενος οἰωνοῖς ἀπειθῆσαι, τὰς δὲ κόμας ἐν ὄψει τῆς στρατιᾶς ἐτίλλετο, καὶ χαλεπῶς ἔφερεν, ὡς τὴν νίκην ἀφῃρημένος ὑπὸ ζηλοτυπίας τοῦ συνάρχου· καὶ τὸ πλῆθος αὐτῷ συνηγανάκτει. Αννίβου δὲ, ἐπεὶ τῆς πείρας ἐξέπιπτεν, αὐτίκα εἰς τὸ στρατόπεδον ἐπανελθόντος, καὶ τὴν ὑπόκρισιν ἐκφήναντος, οὐδὲ τοῦτ᾽ ἐδίδασκε τὸν Τερέντιον πάνθ᾽ ὑπονοεῖν τὰ Αννίβου, ἀλλ᾽ ὡς εἶχεν ἐν τοῖς ὅπλοις, ἐς τὸ στρατήγιον ἐσδραμὼν, παρόντων ἔτι τῶν τε ἀπὸ βουλῆς, καὶ ταξιάρχων καὶ χιλιάρχων, ᾐτιᾶτο περὶ τῶν οἰωνῶν τὸν Αἰμίλιον προφασίσασθαι, καὶ νίκην φανερὰν ἀφελέσθαι τὴν πόλιν, ὀκνοῦντα ὑπὸ δειλίας, ἢ οἱ φθονοῦντα διὰ ζηλοτυπίαν. οὕτω δ᾽ αὐτοῦ βοῶντος ὑπὸ ὀργῆς, ἡ στρατιὰ περιεστῶσα τῆς σκηνῆς, ἐπήκουε, καὶ τὸν Αἰμίλιον ἐβλασφήμουν. ὁ δὲ πολλὰ μὲν εἶπεν τοῖς ἔνδον συμφέροντα μάτην· Τερεντίῳ δὲ, πλὴν Σερουιλίου, τῶν ἄλλων συντιθεμένων εἶξαι, καὶ τῆς ἐπιούσης ἐξέτασσεν, αὐτὸς ἡγούμενος. παρεχώρει γὰρ ὁ Τερέν-

τος· Ἀννίβας δὲ ᾔσθετο, καὶ τότε μὲν οὐκ ἐπεξῆλθεν (οὐ γάρ πω πρὸς μάχην διετέτακτο) τῇ δ' ἐπιούσῃ κατέβαινον ἐς τὸ πεδίον ἑκάτεροι, ῥωμαῖοι μὲν ἐς τρία τεταγμένοι, μικρὸν ἀπ' ἀλλήλων διεστῶτες, καὶ μέρος ἕκαστον αὐτῶν εἶχε τοὺς πεζοὺς ἐν μέσῳ, τοὺς δὲ ψιλοὺς καὶ ἱππέας ἑκατέρωθεν· στρατηγοὶ δ' ἐφειστήκεσαν, τῷ μέσῳ μὲν Αἰμίλιος, τῷ δὲ λαιῷ Σερουίλιος, Τερέντιος δὲ τοῖς ἐπὶ δεξιᾷ, χιλίους ἀμφ' αὐτὸν ἕκαστος ἔχων ἱππέας ἐπιλελεγμένους, ἐπικουρεῖν ὅπῃ τι πονοίη· οὕτω μὲν ἐτάξαντο ῥωμαῖοι· ὁ δ' Ἀννίβας πρῶτα μὲν εἰδὼς περὶ μεσημβρίαν εὗρον ζοφώδη, τὸν χῶρον ἐξ ἔθους ἐπιπνέοντα, προὔλαβεν ὅπῃ κατὰ νώτου τὸ πνεῦμα ἔμελλεν ἕξειν· ἔπειτα ἐς τὸ ὄρος περίφυτον καὶ φαραγγῶδες ἱππέας προενήδρευσε, καὶ ψιλούς, οἷς εἴρητο, ὅταν αἱ φάλαγγες ἔργων ἔχωνται, καὶ τὸ πνεῦμα ἐπίῃ, κατόπιν γίγνεσθαι τῶν πολεμίων· ἄνδρας τε πεντακοσίους κελτίβηρας ἐπὶ τοῖς μακροῖς ξίφεσιν ὑπὸ τοῖς χιτῶσιν ἄλλα ξίφη βραχύτερα περιέζωσεν, οἷς ἔμελλεν αὐτός, ὅτε δέοι χρῆσθαι, σημαίνειν. σύμπασαν δὲ τὴν στρατιὰν κἀκεῖνος ἐς τρία διῄρει, καὶ τοὺς ἱππέας τοῖς κέρασιν ἐπέτασσεν ἐκ μεγάλων διαστημάτων, εἰ δύναιντο κυκλώσασθαι τοὺς πολεμίους. ἐπέστησε δὲ τῷ μὲν δεξιῷ Μακρῶν τὸν ἀδελφόν, τῷ δὲ ἑτέρῳ τὸν ἀδελφιδοῦν Ἄννωνα, τὸ δὲ μέσον αὐτὸς εἶχε κατὰ δόξαν Αἰμιλίου τῆς ἐμπειρίας· δισχίλιοί τε ἱππεῖς ἐπίλεκτοι παρέθεον αὐτῷ, καὶ Μαάρβας ἑτέρους ἔχων χιλίους, ἐφεδρεύειν ὅπῃ τι πονούμενον ἴδοι. καὶ τάδε πράσσων, ἐς δευτέραν παρέτεινεν ὥραν, ἵνα τὸ πνεῦμα θᾶσσον ἐπέλθοι. γιγνομένων δὲ πάντων εὐτρεπῶν ἑκατέροις, οἱ στρατηγοὶ διέθεον παρακαλοῦντες αὐτούς, καὶ ὑπεμίμνησκον, οἱ μὲν γονέων τε καὶ παίδων καὶ γυναικῶν καὶ τῆς προγεγενημένης ἥττης, ὡς ἐν τῇδε τῇ μάχῃ περὶ σωτηρίας κριθησομένους· ὁ δὲ Ἀννίβας, τῶν τε προγεγονότων ἐπὶ τοῖσδε τοῖς ἀνδράσι κατορθωμάτων, καὶ ὡς αἰσχρὸν

ἡττᾶσθαι τῶν ἡττημένων. ἐπεὶ δ' αἵ τε σάλπιγγες ἤχησαν καὶ αἱ φάλαγγες ἐβόησαν, πρῶτον μὲν αὐτῶν οἱ τοξόται καὶ σφενδονῆται καὶ λιθοβόλοι, προδραμόντες ἐς τὸ μέσον, ἀλλήλων κατῆρχον· μετὰ δὲ τοῦτο αἱ φάλαγγες ἐχώρουν ἐπὶ τὸ ἔργον· φόνος τε καὶ πόνος ἦν πολύς, ἐκθύμως ἀγωνιζομένων ἑκατέρων. ἐν ᾧ σημαίνει μὲν ὁ Αννίβας τοῖς ἱππεῦσι κυκλοῦσθαι τὰ κέρατα τῶν ἐχθρῶν· οἱ δὲ τῶν ῥωμαίων ἱππεῖς, ὀλιγώτεροι τῶν πολεμίων ὄντες, ἀντιπαρῆγον αὐτοῖς, καὶ τὴν τάξιν ἐκτείναντες ἐπὶ λεπτόν, ἠγωνίζοντο ὅμως ὑπὸ προθυμίας, καὶ μάλιστα οἱ τὸ λαιὸν ἔχοντες ἐπὶ τῇ θαλάσσῃ. Αννίβας δὲ καὶ Μααρβὰς ὁμοῦ τοῖς περὶ σφᾶς ἐπῆγον, ἀπλέτῳ καὶ βαρβαρικῇ νομίσαντες ἐκπλήξειν τοὺς ἐναντίους. οἱ δὲ καὶ τούτους ἀσταθῶς καὶ ἀκαταπλήκτως ὑπέμενον. διαπιπτούσης δὲ καὶ τῆσδε τῆς πείρας, ὁ Αννίβας τὸ σημεῖον ἐπῆρε τοῖς κελτίβηρσι τοῖς πεντακοσίοις. οἱ δέ, τῆς τάξεως ἐκδραμόντες, ἐς τοὺς ῥωμαίους μετετίθεντο, καὶ τὰς ἀσπίδας αὐτοῖς καὶ τὰ δόρατα καὶ τὰ ξίφη τὰ φανερὰ ὤρεγον, ὥσπερ αὐτομολοῦντες. τοὺς ὁ Σερουίλιος αὐτοὺς ἐπαινέσας, τὰ μὲν ὅπλα αὐτῶν αὐτίκα παρεῖλεν, ἐν δὲ μέσοις, ὡς ᾤετο, τοῖς χιτῶσιν ἔστησεν ὀπίσω. οὐ γὰρ ἐδοκίμαζε καταδεῖν αὐτομόλους ἐν ὄψει πολεμίων· οὐδὲ ὑπώπτευεν, ἐν χιτῶσι μόνοις ὁρῶν· οὐδὲ καιρὸς ἦν ἐν τοσῷδε πόνῳ. σπεῖραι δ' ἕτεραι λιβύων προσεποιήσαντο φυγεῖν ἄχρι τῶν ὀρῶν αἱ ἀλαλάξασαι μέγα. σύμβολον δ' ἦν ἡ βοὴ τοῖς ἐν ταῖς φάραγξι κεκρυμμένοις, ἀναστρέφειν ἐς τοὺς διώκοντας. καὶ εὐθὺς οἵ τε ψιλοὶ καὶ ἱππεῖς ἐκ τῆς ἐνέδρας ἐξεφαίνοντο, καὶ τὸ πνεῦμα κατέβαινε πολὺ καὶ ζοφῶδες ἐς τὰς ῥωμαίων ὄψεις μετὰ κονιορτοῦ φερόμενον· ὃ καὶ μάλιστα αὐτοὺς ἐκώλυε προορᾶν τοὺς πολεμίους. τά τε βέλη ῥωμαίοις μὲν πάντα ἀμβλύτερα, διὰ τὴν ἀντίπνοιαν, ἦν· τοῖς δὲ ἐχθροῖς ἐπιτυχῆ, τοῦ πνεύματος τὴν βολὴν συνωθοῦντος. οἱ δέ, οὔτε ἐκ-

κλίνειν αὐτὰ δυνάμενοι, σφίσι τε αὐτοῖς περιπταίοντες, ἤδη ποικίλως ἐθορυβοῦντο. τότε δὴ τὸν καιρὸν ὁρῶντες τὸν ἐπηγγελμένον σφίσιν οἱ πεντακόσιοι, τὰ ξίφη τὰ βραχύτερα ἐκ τῶν κόλπων ἐπισπάσαντες, πρώτοις ἀνῄρουν ὧν ἦσαν ὀπίσω. μετὰ δὴ ἐκείνους, ἁρπάσαντες αὐτῶν τὰ ξίφη τὰ μείζω, καὶ τὰς ἀσπίδας καὶ τὰ δόρατα, πᾶσιν ἐνέπιπτον καὶ μετεπήδων ἀφειδῶς· καὶ φόνον εἰργάζοντο πλεῖστον οὗτοι μάλιστα, ἅτε πάντων ὄντες ὀπίσω. τό, τε κακὸν ἤδη πολὺ τοῖς ῥωμαίοις καὶ ποικίλον ἦν, πονουμένοις μὲν ὑπὸ τῶν ἐναντίων, κεκυκλωμένοις δὴ ὑπὸ τῆς ἐνέδρας, ἀναιρουμένοις δὲ ὑπὸ τῶν ἀναμεμιγμένων. οὐδὲ ἐπιστρέψαι πρὸς αὐτοὺς ἐδύναντο, διὰ τοὺς ἐπικειμένους σφίσιν ἐκ μετώπου· οὐδὲ ἐπεγίγνωσκον ἔτι αὐτοὺς ἀκριβῶς, ῥωμαϊκὰς ἀσπίδας ἔχοντας. ὑπὲρ ἅπαντα δὴ αὐτοὺς ὁ κονιορτὸς ἠνώχλει, καὶ οὐκ εἶχον οὐδὲ εἰκάσαι τὸ συμβαῖνον· ἀλλ', οἷα ἐν θορύβῳ καὶ φόβῳ, πάντα πλείω νομίζοντες εἶναι, καὶ τὰς ἐνέδρας οὐ τοσαύτας, οὐδὲ τοὺς πεντακοσίους εἰδότες ὅτι ἦσαν πεντακόσιοι, ἀλλ' ὅλον σφῶν τὸ στρατόπεδον ὑπὸ ἱππέων καὶ αὐτομόλων ἡγούμενοι κεκυκλῶσθαι· τραπέντες ἔφευγον ἀκόσμως. πρῶτοι μὲν οἱ ἐπὶ τοῦ δεξιοῦ (καὶ ὁ Τερέντιος αὐτοῖς ἐξῆρχε τῆς φυγῆς) μετὰ δὴ ἐκείνους οἱ τὸ λαιὸν ἔχοντες, ὧν ὁ Σερουίλιος ἡγούμενος πρὸς τὸν Αἰμίλιον διέδραμεν, καὶ περὶ αὐτοὺς ἦν ὅσον ἄριστον ἱππέων τε καὶ πεζῶν ἀμφὶ τοὺς μυρίους. καταθορόντες δὲ ἀπὸ τῶν ἵππων οἱ στρατηγοί, καὶ μετ' αὐτοὺς ὅσοι ἄλλοι ἦσαν ἐπὶ ἵππων, ἐπεζομάχουν τοῖς ἱππεῦσιν τοῖς Αννίβου, κεκυκλωμένοι· καὶ πολλὰ μὲν ἐξ ἐμπειρίας σὺν εὐψυχίᾳ καὶ ἀπονοίᾳ λαμπρὰ ἔδρασαν, ἐμπίπτοντες σὺν ὀργῇ τοῖς πολεμίοις· πανταχόθεν δὲ ἀνῃροῦντο, περιτρέχοντος αὐτοὺς τοῦ Αννίβου, καὶ τοὺς ἰδίους ὁτὲ μὲν ἐξοτρύνοντος, καὶ παρακαλοῦντος τὸ λείψανον τῆς νίκης ἐκπονῆσαι, ὁτὲ δὴ ἐπιπλήσσοντός τε καὶ ὀνειδίζοντος, εἰ τὸ πλῆθος νενικηκότες ὀλίγων οὐ περιέσονται. ῥωμαῖοι δέ, ὡς μὲν αὐτοῖς ὁ Αἰμίλιος

καὶ ὁ Σερουίλιος περιῆσαν, πολλὰ δρῶντές τε καὶ πάσχοντες, ὅμως ὑπέμενον ἐν τάξει· ἐπεὶ δ᾽ ἔπεσον αὐτῶν οἱ στρατηγοί, διὰ μέσων βιαζόμενοι τῶν ἐχθρῶν, μάλα καρτερῶς κατὰ μέρη διέφυγον, οἱ μὲν, ἔνθαπερ οἱ περὶ αὐτὸν ἐπεφεύγεσαν, ἐς τὰ στρατόπεδα δύο ὄντα καὶ σύμπαντα· οἱ δὲ ἐγένοντο ἀμφὶ τοὺς μυρίους καὶ πεντακισχιλίους, οἷς ὁ Αννίβας φυλακὴν ἐπέστησεν· οἱ δὲ ἐς κάννας, περὶ δισχιλίους· καὶ παρέδωκαν ἑαυτοὺς οἵδε οἱ δισχίλιοι τῷ Αννίβᾳ· ὀλίγοι δ᾽ ἐς κανούσιον διέδρασαν· καὶ οἱ λοιποὶ κατὰ μέρος ἐσκεδάσθησαν ἀνὰ τὰς ὕλας. τοῦτο τέλος ἦν τῆς ἐπὶ κάνναις Αννίβου τε καὶ ῥωμαίων μάχης, ἀρξαμένης μὲν ὑπὲρ ὥραν δευτέραν, ληξάσης δὲ περὶ δύο τῆς νυκτὸς ὡρῶν, οὔσης δ᾽ ἔτι νῦν ἀοιδίμου ῥωμαίοις ἐπὶ συμφορᾷ. ἀπέθανον γὰρ αὐτῶν ἐν ταῖσδε ταῖς ὥραις πεντακισμύριοι· καὶ ζῶντες ἐλήφθη πολὺ πλῆθος· ἀπὸ δὲ τῆς βουλῆς πολλοὶ παρόντες ἐπλάγησαν, καὶ ἐπ᾽ αὐτοῖς ταξίαρχοί τε πάντες καὶ λοχαγοί, καὶ τῶν στρατηγῶν αὐτῶν οἱ ἄριστοι δύο. ὁ δὲ φαυλότατός τε καὶ τῆς συμφορῶν αἴτιος, ἀρχομένης τῆς τροπῆς ἐπεφεύγει. καὶ ῥωμαῖοι δύο ἔτεσιν ἤδη περὶ τὴν Ἰταλίαν Αννίβᾳ πολεμοῦντες, ἀπολωλέκεσαν ἀνδρῶν ἰδίων τε καὶ συμμάχων ἐς δέκα μυριάδας. Αννίβας δὲ νίκην ἀρίστην τε καὶ σπάνιον ἐξενεγκάμενος, ἡμέρας μιᾶς στρατηγήμασι τέσσαρσι, τοῦ τε πνεύματος τῇ φορᾷ, καὶ τοῖς ὑποκριθεῖσιν αὐτομολεῖν, καὶ τοῖς προσποιηθεῖσι φεύγειν, καὶ τοῖς ἐν μέσαις ταῖς φάραγξι κεκρυμμένοις, εὐθὺς ἀπὸ τοῦ ἔργου τοὺς πεσόντας ἐπῄει. θεώμενος δὲ τῶν φίλων τοὺς ἀρίστους ἀνῃρημένους, ᾤμωξε, καὶ δακρύσας εἶπεν, οὐ χρῄζειν ἑτέρας τοιᾶσδε νίκης. ὃ καὶ Πύρρον φασὶν εἰπεῖν περὶ αὐτοῦ τῆς ἠπείρου βασιλέα, ῥωμαίων κἀκεῖνον ἐν Ἰταλίᾳ κρατοῦντα σὺν ὁμοίᾳ ζημίᾳ. τῶν δὲ φυγόντων ἐκ τῆς μάχης, οἱ μὲν ἐν τῷ μείζονι στρατοπέδῳ στρατηγὸν αὐτῶν ἑαυτοῖς ἑλόμενοι Πούπλιον Σεμπρώνιον, ἐβιάσαντο τοὺς Αννίβου φύλακας, ὕπνου καὶ κόπου πλήρεις ὄντας· καὶ διέδραμον ἐς

κανούσιον περὶ μέσας νύκτας ἀμφὶ τοὺς μυρίους. οἱ δ' ἐν τῷ βραχυτέρῳ πεντακισχίλιοι τῆς ἐπιούσης ἡμέρας ἐλήφθησαν ὑπὸ τοῦ Αννίβου. Τερέντιος δὲ στρατὸν ἀγείρας, τοὺς διερριμμένους ἐπειρᾶτο παραθαρρύνειν, καὶ στρατηγὸν αὐτοῖς ἐπιστήσας τῶν χιλιάρχων τινὰ Σκιπίωνα, ἐς ῥώμην διέδραμεν. ἡ δὲ πόλις, ἀπαγγελθείσης τῆς συμφορᾶς, οἱ μὲν ἐν ταῖς ὁδοῖς ἐθρήνουν τε τοὺς οἰκείους ἀνακαλοῦντες, καὶ σφᾶς ὡς αὐτίκα ἁλωσομένους ὠλοφύροντο· αἱ δὲ γυναῖκες ἱκέτευον ἐν τοῖς ἱεροῖς μετὰ τῶν τέκνων, λῆξαί ποτε τὰς συμφορὰς τῇ πόλει· οἱ δ' ἄρχοντες θυσίαις τε καὶ εὐχαῖς ἱλάσκοντο τοὺς θεοὺς, εἴ τι μήνιμα ἐνοχλεῖ, κορεσθῆναι τοῖς γεγονόσιν. ἡ δὲ βουλὴ Κόϊντον μὲν Φάβιον τὸν συγγραφέα τῶνδε τῶν ἔργων, ἐς δελφοὺς ἔπεμπε χρησόμενον περὶ τῶν παρόντων. δούλους δὲ ἐς ὀκτακισχιλίους, τῶν δεσποτῶν ἐπιδόντων, ἠλευθέρου, ὅπλα τε καὶ τόξα τοὺς ἐν ἄστει πάντας ἐργάζεσθαι παρεσκεύαζε, καὶ συμμάχους, καὶ ὡς, τινὰς συνέλεγεν· Κλαυδιόν τε Μάρκελλον μέλλοντα πλεῖν ἐς σικελίαν, ἐς τὸν Αννίβου πόλεμον μετέφερεν. ὁ δὲ τὸν μὲν στόλον ἐμερίσατο τῷ συνάρχῳ Φουρίῳ, καὶ τὸ μέρος ἔπεμψεν ἐς τὴν σικελίαν· αὐτὸς δὲ τοὺς δούλους ἄγων, καὶ ὅσους ἄλλους ἐδύνατο τῶν πολιτῶν ἢ συμμάχων, γενομένους ἅπαντας ἐς μυρίους πεζοὺς καὶ δισχιλίους ἱππέας, ἐς τὸ τέανον παρῆλθε, καὶ ὅ, τι πράξειν ὁ Αννίβας μέλλοι, παρεφύλασσεν. Αννίβου δὲ δόντος τοῖς αἰχμαλώτοις ἐς ῥώμην πρεσβεύσασθαι περὶ σφῶν, εἰ θέλοιεν αὐτοὺς οἱ ἐν ἄστει λύσασθαι χρημάτων· καὶ τοὺς αἱρεθέντας ὑπ' αὐτῶν τρεῖς, ὧν ἡγεῖτο Γναῖος Σεμπρώνιος, ὁρκώσαντος ἐς αὐτὸν ἐπανήξειν· οἱ μὲν οἰκεῖοι τῶν ἁλόντων, περιστάντες τὸ βουλευτήριον, ἐπηγγέλλοντο λύσεσθαι τοὺς οἰκείους ἕκαστος ἰδίοις χρήμασιν, καὶ παρεκάλουν τὴν βουλὴν τοῦτο σφίσιν ἐπιτρέψαι, καὶ ὁ δῆμος αὐτοῖς συνεδάκρυε καὶ συνεδεῖτο· τῶν δὲ βουλευτῶν οἱ μὲν οὐκ ἠξίουν ἐπὶ τοσαῖσδε

συμφοραῖς ἄλλοις τοσοῖσδε βλάψειν τὴν πόλιν, οὐδὲ δούλους μὲν ἐλευθεροῦν, τοὺς δὲ ἐλευθέρους ὑπερορᾶν. οἱ δ' οὐκ ᾤοντο δεῖν αὐτοὺς ἐθίζειν τῷδε τῷ ἐλέῳ φεύγειν, ἀλλ' ἢ νικᾶν μαχομένους ἢ καὶ ἀποθνήσκειν, ὡς οὐκ ὂν οὐδ' ὑπὸ τῶν οἰκείων ἐλεεῖσθαι τὸν φυγόντα. πολλῶν δὲ παραδειγμάτων ἐς ἑκάτερα λεχθέντων, οὐκ ἐπέτρεψεν ἡ βουλὴ τοῖς συγγενέσι λύσασθαι τοὺς αἰχμαλώτους, ἡγουμένη, πολλῶν σφίσιν ἔτι κινδύνων ἐπόντων, οὐ συνοίσειν ἐς τὸ μέλλον τὴν ἐν τῷ παρόντι φιλανθρωπίαν. τὸ δ' ἀπάνθρωπον, εἰ καὶ σκυθρωπὸν εἴη, πρός τε τὰ μέλλοντα χρήσιμον ἔσεσθαι, καὶ ἐν τῷ παρόντι καταπλήξειν Ἀννίβαν τῷ τολμήματι. Σεμπρώνιος οὖν καὶ οἱ σὺν αὐτῷ δύο τῶν αἰχμαλώτων πρὸς Ἀννίβαν ἐπανῄεσαν· ὁ δ' ἔστι μὲν οὓς ἀπέδοτο τῶν αἰχμαλώτων, ἔστι δ' οὓς ὑπ' ὀργῆς ἀνῄρει, καὶ τοῖς σώμασι τὸν ποταμὸν ἐγεφύρου καὶ ἐπέρα. ὅσοι δ' ἦσαν ἀπὸ τῆς βουλῆς, ἢ ἄλλως ἐπιφανεῖς, μονομαχεῖν αὐτοὺς ὑπὸ θεαταῖς τοῖς Λίβυσιν ἠνάγκασεν, πατέρας τε υἱοῖς καὶ ἀδελφοὺς ἀδελφοῖς, οὐδὲν ἐκλείπων ὑπεροψίας ὠμῆς. μετὰ δὲ τοῦτο ἔτι ὄντα ὑπὸ Ῥωμαίοις ἐλυμαίνετο, καὶ πελιδένοις μηχανήματα προσῆγεν. οἱ δ', ὀλίγοι μὲν ἦσαν, ὑπὸ δὲ τόλμης, μετὰ τῶν γυναικῶν ἐπεξέθεον αὐτῷ, καὶ πολλὰ καὶ γενναῖα ἔδρων· τάς τε μηχανὰς αὐτοῦ συνεχῶς ἐνεπίμπρασαν, οὐχ ἧσσον αὐτοὺς τῶν γυναικῶν ἀνδριζομένων. ὀλιγώτεροι δὲ γιγνόμενοι καθ' ἕκαστον ἔργον, ἐκακοπάθουν μάλιστα ὑπὸ λιμοῦ· καὶ ὁ Ἀννίβας αἰσθανόμενος, περιετείχισεν αὐτούς, καὶ Ἄννωνα ἐπέστησε τῇ πολιορκίᾳ. οἱ δ' ἐπιτείνοντος αὐτοῖς τοῦ κακοῦ, πρῶτα μὲν τοὺς ἀχρείους σφῶν ἐς μάχας, ἐξέβαλον ἐς τὸ μεσοτείχιον, καὶ κτιννυμένους ὑπὸ τοῦ Ἄννωνος ἐφεώρων ἀλύπως, ὡς εὐμοιρότερον ἀποθνήσκοντας. τῷ δ' αὐτῷ λόγῳ καὶ οἱ λοιποὶ πάμπαν ἀποροῦντες, ἐξέδραμον ἐπὶ τοὺς πολεμίους· καὶ πολλὰ μὲν καὶ γενναῖα καὶ

πότε ἔδρασαν· ὑπὸ δὲ ἀπορίας καὶ ἀσθενείας σωμάτων, οὐδ' ὑποστρέψαι δυνάμενοι, διεφθάρησαν ἅπαντες ὑπὸ τῶν λιβύων. καὶ τὴν πόλιν εἷλεν ὁ Αννων, ἐκφυγόντων καὶ ὡς ἀπ' αὐτῆς ὀλίγων, τῶν δραμεῖν δυνηθέντων. τούτους διερριμμένους οἱ ῥωμαῖοι σπουδῇ συνῆγον, καὶ γενομένους ἐς ὀκτακοσίους, κατήγαγόν τε καὶ συνῴκισαν μετὰ τόνδε τὸν πόλεμον αὖθις εἰς τὴν πατρίδα, ἀγάμενοι τῆς τε περὶ σφᾶς εὐνοίας καὶ τῆς παραδόξου τῆς προθυμίας. τῶν δὲ κελτιβήρων ἱππέων, οἳ ἐμισθοφόρουν Αννίβα, λαμπρότερον ἀγωνιζομένων, ὅσοι ῥωμαίων ἐστρατήγουν ἐν ἰβηρίᾳ, τοῖς δὲ ἑτέροις ταῖς πόλεσι ταῖς ὑπὸ σφίσιν αἰτήσαντες, εἰς ἀντίπαλον ἐκείνων ἔπεμψαν ἐς τὴν ἰταλίαν· οἳ τοῖς ὁμοεθνέσιν, ὅτε πλησίον Αννίβου στρατοπεδεύοιεν, ἀναμιγνύμενοι, μετέπειθον αὐτούς· καὶ πολλῶν μετατιθεμένων τε καὶ αὐτομολούντων, ἢ ἀποδιδρασκόντων, οὐδὲ τὸ λοιπὸν ἦν ἔτι τῷ Αννίβᾳ πιστὸν, ὑποπτευόμενόν τε ὑπ' ἐκείνου καὶ ὑποπτεύοντες αὐτόν. κάκιον οὖν ἔπρασσεν ὁ Αννίβας τὸ ἀπὸ τοῦδε. ἀργύριππα δ' ἐστὶ πόλις ἐν τῇ δαυνίᾳ, ἣν Διομήδης ὁ ἀργεῖος λέγεται κτίσαι· καί τις ἔκγονος εἶναι τοῦ Διομήδους νομιζόμενος Δάσιος, ἀνὴρ εὐμετάβολός τε τὸ φρόνημα καὶ οὐ Διομήδους ἄξιος, ῥωμαίων περὶ κάννας τὴν μεγάλην ἧτταν κεκτημένων, ἀπέστησε τὴν πατρίδα πρὸς τοὺς λίβυας ἀπὸ ῥωμαίων. τότε δ' αὖ δυσπραγοῦντος Αννίβου, ἔλαθεν ἐς ῥώμην διιππεύσας, καὶ ἐπὶ τὴν βουλὴν ἐπαχθεὶς, ἔφη δύνασθαι τὸ ἁμάρτημα ἰάσασθαι, καὶ μεταβαλεῖν αὖθις ἐς ῥωμαίους τὴν πόλιν. οἱ δ' ὀλίγου μὲν αὐτὸν καὶ διέφθειραν, ἐξέβαλον δ' εὐθὺς ἐκ τῆς πόλεως. ὁ δὲ καὶ τούσδε καὶ τὸν Αννίβαν δεδιὼς, ἠλᾶτο ἀνὰ τὴν χώραν. καὶ ὁ μὲν Αννίβας αὐτοῦ τὴν γυναῖκα καὶ τὰ τέκνα ζῶντας ἔκαυσε, τὰ δὲ ἀργύριππα, ἑτέρων ἐνδόντων, εἷλε Φάβιος Μάξιμος νυκτὸς, καὶ κτείνας ὅσους εὗρε λιβύων, φρουρὰν ἐπέστησε

τῇ πόλει. τάραντα δὲ φρουρουμένην ὑπὸ ῥωμαίων Κονωνεὺς ὧδε προὔδωκε. κυνηγετεῖν εἴθιστο ὁ Κονωνεὺς, καὶ φέρων αἰεί τι τῷ φρουράρχῳ Ιουνίῳ, συνήθης ἐκ τοῦδε ἐγεγένητο. ὡς δὲ ἐν πολεμουμένῃ χώρᾳ, νυκτὸς ἔφη δεῖν τὰ λαμβανόμενα. νυκτὸς οὖν αὐτῷ τῶν πυλῶν ἀνοιγομένων, συνθέμενος Αννίβᾳ, καὶ στρατιώτας λαβὼν, τοὺς μὲν ἔκρυψεν ἐν λόχμῃ τινὶ πλησίον· τοὺς δ' ἐπακολουθεῖν ἐκέλευσεν ἑαυτῷ δι' ὀλίγου· τοὺς δὲ, τὴν αὐτοῦ προσιέναι, θώρακας ἔνδοθεν ὑπεζωσμένους καὶ ξίφη, τὰ δ' ἐκτὸς, ὡς ἂν ἐς κυνηγέτας ἐσκευασμένους. καὶ πρός τε αὐτοῖς ἐπὶ ξύλων ἐπιθεὶς, ἧκεν νυκτὸς ἐπὶ τὰς πύλας, καὶ τῶν φυλάκων, ὥσπερ ἔθος ἦν, ἀνοιξάντων, οἱ μὲν συνεισελθόντες αὐτῷ, τοὺς ἀνοίξαντας αὐτίκα διεχρῶντο· οἱ δ' ἑπόμενοι, κατὰ σπουδὴν συνεισέπιπτον ἐκείνοις, καὶ τοὺς ἀπὸ τῆς λόχμης ἐδέχοντο, καὶ τὰς πύλας ἀνεῴγνυον τῷ Αννίβᾳ. ὁ δὲ, εἴσω παρελθὼν, τῆς μὲν ἄλλης πόλεως εὐθὺς ἐκράτει, καὶ τοὺς ταραντίνους ἑταιρισάμενος, τὴν ἄκραν ἔτι φρουρουμένην ἐπολιόρκει. ὧδε μὲν Κονωνεὺς τάραντα προὔδωκε. ῥωμαῖοι δ' ὅσοι τὴν ἀκρόπολιν εἶχον, ἐς μὲν πεντακισχιλίους ἦσαν, καὶ αὐτοῖς ταραντίνων τέ τινες προσεχώρουν, καὶ ὁ τῆς ἐν μεταποντίῳ φρουρᾶς ἡγεμὼν τὸ ἥμισυ τῆς φρουρᾶς ἔχων ἦλθε, βελῶν τε καὶ ὀργάνων πολλῶν εὐπορῶν, ὡς ἀπὸ τείχους εὐμαρῶς ἀμυνεῖσθαι τὸν Αννίβαν. εὐπόρει δὲ καὶ ὁ Αννίβας· πύργους τε οὖν καὶ καταπέλτας ἐπάγων καὶ χελώνας, ἔνια διέσειε, καὶ δρεπάνοις ἀπὸ κάλων ἐπάλξεις τε κατέσυρε, καὶ τὸ τεῖχος ἀπεγύμνου. οἱ δὲ, λίθους μὲν ἐπὶ τὰς μηχανὰς ἀφιέντες, πολλὰ συνέτριβον· βρόχοις δὲ τὰ δρέπανα περιέσπων, καὶ πολλάκις ἐκθέοντες ἄφνω συνετάρασσον αἰεί τι καὶ κτείναντες ἐπανῄεσαν· ὡς δὲ καὶ πνεῦμα ποτὲ λαμπρὸν ἐθεάσαντο, οἱ μὲν ἀπὸ τοῦ τείχους δᾷδας ἡμμένας

καὶ στυππίον καὶ πίσσαν αὐτοῖς τοῖς μηχανήμασιν ἐπερρίπτουν· οἱ δὲ καὶ ἐκδραμόντες, ὑπέθηκαν. ἀπογνοὺς οὖν ὁ Ἀννίβας τῆσδε τῆς πείρας, περιετείχισε τὴν πόλιν, χωρὶς γε τοῦ πρὸς θαλάσσῃ μέρους· οὐ γὰρ ἦν καὶ τοῦτο δυνατόν. καὶ παραδοὺς Ἄννωνι τὴν πολιορκίαν, εἰς Ἰάπυγας ἀνεχώρει. λιμένες δέ εἰσι τοῖς Ταραντίνοις πρὸς βορρᾶν ἄνεμον ἐκ πελάγους ἐσπλέοντι διὰ ἰσθμοῦ· καὶ τὸν ἰσθμὸν ἀπέκλειον γεφύραις. ὧν τότε κρατοῦντες οἱ ῥωμαίων φρουροί, σφίσι μὲν ἐδέχοντο τὴν ἀγορὰν ἐκ θαλάσσης, ταραντίνοις δ' ἐκώλυον ἐσκομίζεσθαι. ὅθεν ἠπόρουν ἀγορᾶς οἱ ταραντῖνοι· ἕως ἐπελθὼν αὐτοῖς ὁ Ἀννίβας ἐδίδαξε, λεωφόρον ὁδόν, ἣ διὰ μέσης τῆς πόλεως ἔφερεν ἀπὸ τῶν λιμένων, ἐπὶ τὴν νότιον θάλασσαν, ὀρύξαντας, ἰσθμὸν ἕτερον ποιήσασθαι. καὶ οἱ μὲν οὕτω πράξαντες, εἶχόν τε ἀγοράν, καὶ τριήρεσι τοὺς ῥωμαίων φρουροὺς ναῦς οὐκ ἔχοντας ὑπὸ τὸ τεῖχος ἔβλαπτον, ὅτε μὴ χειμὼν εἴη μάλιστα, καὶ τὴν ἀγορὰν τὴν καταπλέουσαν ἐκείνοις ἀφῃροῦντο. οἱ δ' ἠπόρουν, καὶ νυκτὸς αὐτοῖς θουρίων σῖτόν τε ναυσὶ πεμπόντων, καὶ τριήρεις ἐς φυλακὴν τῶν νεῶν, οἱ ταραντῖνοι καὶ οἱ σὺν αὐτοῖς λίβυες πυθόμενοι, καὶ λοχήσαντες, ἔλαβον αὐτῷ τε σίτῳ καὶ αὐτοῖς ἀνδράσιν ἁπάσας. πρεσβευομένων δὲ θαμινὰ τῶν θουρίων, καὶ ἀξιούντων λύσασθαι τοὺς εἰλημμένους, οἱ ταραντῖνοι τοὺς φοιτῶντας αὐτῶν μετέπειθον ἐς Ἀννίβαν. καὶ ὁ Ἀννίβας ὅσους εἶχε θουρίων αἰχμαλώτους, ἀθώους ἀπέλυεν. οἱ δὲ τοὺς οἰκείους σφῶν βιασάμενοι, τὰς πύλας Ἄννωνι ἀνέῳξαν. καὶ θούριοι μὲν ῥωμαίοις Τάραντα περιποιούμενοι, ἔλαθον οὕτως ὑπὸ καρχηδονίοις αὐτοὶ γενόμενοι. ἡ δὲ ἐν τῇ πόλει φρουρὰ ῥωμαίων εἰς βρεντέσιον λαθοῦσα διέπλευσε. μεταποντῖνοι δ' ἐξ οὗ σφῶν ὁ φρούραρχος τὸ ἥμισυ τῆς φρουρᾶς ἄγων ἐς Τάραντα ᾤχετο, τοὺς λοιποὺς, ὀλίγους γενομένους, ἀπέκτειναν, καὶ Ἀννίβᾳ προσέθεντο. προσέθετο δὲ καὶ ἡ μεταξὺ

μεταποντίνων τε καὶ ταραντίνων ἡράκλεια, δέει μᾶλλον ἢ γνώμῃ. καὶ πάλιν ἦν ἐπικυδέστερα τὰ Αννίβου. τῷ δ' ἑξῆς ἔτει καὶ λευκανῶν τινὲς ἀπέστησαν ἀπὸ ῥωμαίων, οἷς Σεμπρώνιος Γράκχος ἀνθύπατος ἐπελθὼν ἐπολέμει. λευκανὸς δέ τις ἐκ τῶν ἔτι ῥωμαίοις ἐμμενόντων Φλάβιος, φίλος ὢν καὶ ξένος Γράκχου, προδιδοὺς αὐτὸν, ἔπεισεν ἔς τι χωρίον ἐλθόντα, συνθέσθαι λευκανῶν τοῖς στρατηγοῖς, ὡς μετανοοῦσι, καὶ δοῦναι καὶ λαβεῖν πίστεις. ὁ δ' οὐδὲν ὑποπτεύσας, εἵπετο μεθ' ἱππέων τριάκοντα· νομάδων δὲ πολλῶν αὐτὸν ἐξ ἐνέδρας κυκλωσαμένων, ὁ μὲν Φλάβιος ἐξίππευεν ἐς ἐκείνους· ὁ δὲ Γράκχος συνεὶς τῆς προδοσίας, καθήλατο μετὰ τῶν ἱππέων· καὶ πολλὰ καὶ γενναῖα δρῶν κατεκόπη μετὰ πάντων, πλὴν τριῶν· οὓς μόνους εἷλεν ὁ Αννίβας, πολλὴν ποιησάμενος σπουδὴν λαβεῖν ζῶντα ῥωμαίων τὸν ἀνθύπατον. αἰσχρῶς δ' αὐτὸν ἐνεδρευθέντα ἀγάμενος ὅμως τῆς πλευταίας ἀρετῆς, ἔθαψεν, καὶ τὰ ὀστᾶ ῥωμαίοις ἔπεμψεν. καὶ ἀπὸ τοῦδε αὐτὸς μὲν ἐν ἰάπυξιν ἐθέριζεν, καὶ σῖτον πολὺν ἐσώρευεν· ῥωμαίων δὲ ἐπιθέσθαι καπυαίοις ἐγνωκότων, ἔπεμπεν Αννωνα μετὰ χιλίων πεζῶν καὶ χιλίων ἱππέων, ἐσδραμεῖν νυκτὸς ἐς καπύην. καὶ ὁ μὲν ἐσέδραμε, ῥωμαίους λαθών· οἱ δ' ἡμέρας γενομένης, ὡς πλέονας εἶδον ἐπὶ τῶν τειχῶν, τὸ συμβὰν ἔγνωσαν· καὶ τῆς μὲν πόλεως εὐθὺς ἀνεχώρουν, τὰ δὲ θέρη τὰ καπυαίων καὶ τῶν ἄλλων καμπανῶν προκατελάμβανον. ὀδυρομένοις δὲ περὶ τοῦδε τοῖς καμπανοῖς ὁ Αννίβας ἔφη πολὺν ἔχειν σῖτον ἐν ἰαπυγίᾳ, καὶ πέμποντας ἐκέλευε λαμβάνειν ὁσάκις θέλοιεν. οἱ δ' οὐχ ὑποζύγια μόνον οὐδ' ἄνδρας, ἀλλὰ καὶ γυναῖκας καὶ παιδία ἔπεμπον ἀχθοφορήσοντα τοῦ σίτου. καὶ γὰρ ἐθάῤῥουν τῇ διόδῳ, μετελθόντες ἐς αὐτὴν ἐξ ἰαπύγων Αννίβου, καὶ παρὰ τὸν κάλορα ποταμὸν στρατοπεδεύοντος, πλησίον βενεβενδίων, οὓς μόνους ἐδεδοίκεσαν

ῥωμαίοις ἔτι συμμάχοις ὄντας. τότε δὲ Ἀννίβου παρόντος, ἁπάντων καταφρονοῦσι. συνέβη δέ, Ἀννίβαν μὲν, καλοῦντος αὐτὸν Ἄννωνος, ἐς λευκανοὺς διελθεῖν, τὰ πολλὰ τῆς κατασκευῆς ἐν τῷ περὶ βενεβέντον στρατοπέδῳ μετ᾽ ὀλίγης φρουρᾶς καταλιπόντα· δυοῖν δὲ ῥωμαίοις στρατηγούντοιν, Κλαυδίου τε καὶ Ἀννίου, τὸν ἕτερον αὐτοῖν πυθόμενον ἐπιδραμεῖν τοῖς καμπανοῖς διαφέρουσι τὰ θέρη· καὶ πολλοὺς μὲν, οἷα ἀπαρασκεύοις, διαφθεῖραι, καὶ τὸν σῖτον βενεβενδεῦσι δοῦναι· λαβεῖν δὲ καὶ τὸ στρατόπεδον Ἀννίβου, καὶ τὴν ἐν αὐτῷ παρασκευὴν ἁρπάσαι· καὶ καπύην, ἔτι ὄντος ἐν λευκανοῖς Ἀννίβου, περιταφρεῦσαί τε καὶ ἐπὶ τῇ τάφρῳ περιτειχίσαι πᾶσαν ἐν κύκλῳ. καὶ τοῦδε τοῦ περιτειχίσματος ἐκτὸς ἄλλο ποιήσαντες οἱ στρατηγοὶ τὸ μέσον εἶχον ἀντὶ στρατοπέδου. ἐπάλξεις δ᾽ ἦσαν αὐτοῖς, αἱ μὲν ἐς καπυαίους πολιορκουμένους, αἱ δ᾽ ἐς τοὺς ἔξωθεν ἐπιόντας ἐπεστραμμέναι. ἥ τε ὄψις ἦν πόλεως μεγάλης σμικροτέραν ἐχούσης ἐν μέσῳ· τὸ δὲ ἀπὸ τοῦ περιτειχίσματος ἐς τὴν καπύην διάστημα, διστάδιον ἦν μάλιστα· ἐν ᾧ πολλαὶ ἐγίγνοντο πεῖραι καὶ συμβολαὶ καθ᾽ ἑκάστην ἡμέραν. πολλὰ δ᾽ ὡς ἐν θεάτρῳ μεσοτειχίῳ μονομαχία προκαλουμένων ἀλλήλους τῶν ἀρίστων, καί τις καπυαῖος Ταυρέας ῥωμαίων ἐν μονομαχίᾳ Κλαύδιον Ἄσελλον περιφεύγων, ὑπεχώρει, μέχρι τοῖς καπυαίων τείχεσιν ὁ Ἄσελλος ἐγκύρσας, καὶ τὸν ἵππον οὐ δυνάμενος ἐκ τῆς ῥύμης ἐπιστρέψαι, διὰ τῶν πολεμίων πυλῶν ἐς τὴν καπύην ἐσήλατο σὺν ὁρμῇ, καὶ διιππεύσας τὴν πόλιν ὅλην, κατὰ τὰς ἑτέρας ἐξέδραμεν ἐς τοὺς ἐπὶ θάτερα ῥωμαίους. καὶ ὁ μὲν οὕτως παραβόλως διεσώζετο, Ἀννίβας δὲ τῆς χρείας ψευσθεὶς, ἐφ᾽ ἣν ἐς λευκανοὺς μετεκέκλητο, ἀνέστρεφεν ἐς καπύην, μεταποιούμενος μὴ περιιδεῖν πόλιν μεγάλην καὶ εὔκαιρον ὑπὸ ῥωμαίοις γιγνομένην. προσβαλὼν δὲ τῷ πε-

ἐπιτειχίσματι, καὶ μηδὲν δυνηθεὶς μηδὲ ἐπινοεῖν ὅπως ἂν ἐς τὴν πόλιν ἐσπέμψειεν ἢ σῖτον ἢ στρατιάν, οὐδενὸς οὐδ' ἀπ' ἐκείνων αὐτῷ συμβαλεῖν δυναμένου, διὰ τὴν ἐπιτείχισιν πάντῃ περιλαμβάνουσαν, ἐπὶ τὴν ῥώμην ἠπείγετο παντὶ τῷ στρατῷ, πυνθανόμενος μὲν κἀκείνους ὑπὸ λιμοῦ πιέζεσθαι, ἐλπίζων δὲ τοὺς στρατηγοὺς αὐτῶν ἀπὸ καπύης ἀναστήσειν, ἢ αὐτός τι καπύης μεῖζον ἐργάσεσθαι. συντόνῳ δὲ σπουδῇ διελθὼν ἔθνη πολλὰ καὶ πολέμια, τῶν μὲν οὐ δυνηθέντων αὐτὸν ἐπισχεῖν, τῶν δὲ οὐδὲ ἐς πεῖραν ἐλθεῖν ὑποστάντων, ἀπὸ δύο καὶ τριάκοντα σταδίων τῆς ῥώμης ἐστρατοπέδευσεν, ἐπὶ τοῦ ἀνιῶνος ποταμοῦ. καὶ ἡ πόλις ἐθορυβήθη θόρυβον οἷον οὐ πρότερον· οἰκεῖον μὲν οὐδὲν ἔχοντες ἱκανόν (ὃ γὰρ εἶχον, ἐν καμπανίᾳ τότε ἦν) πολεμίου δὲ στρατοῦ τοσοῦδε σφίσιν ἐπιστάντος ἄφνω, καὶ στρατηγοῦ δι' ἀρετὴν καὶ εὐτυχίαν ἀμάχου· ὅμως δὲ ἐκ τῶν παρόντων, οἱ μὲν δυνάμενοι φέρειν ὅπλα, τὰς πύλας ἐφύλασσον, οἱ δὲ γέροντες ἐς τὸ τεῖχος ἀνεπήδων, γυναῖκες δὲ καὶ παιδία λίθους καὶ βέλη παρέφερον· οἱ δ' ἐκ τῶν ἀγρῶν συνέθεον ἐς τὸ ἄστυ δρόμῳ. βοῆς δὲ παμμιγοῦς καὶ θρήνων καὶ εὐχῶν καὶ παρακελεύσεων πρὸς ἀλλήλους πάντα μεστὰ ἦν. εἰσὶ δ' αὐτῶν οἳ τὴν γέφυραν τὴν ἐπὶ τοῦ ἀνιῶνος ἐκδραμόντες, ἔκοπτον. μικρὸν δέ τι πολίχνιον ῥωμαῖοί ποτε ἐπιτειχίζοντες αἰκανοῖς, ἄλβην ἀπὸ τῆς αὐτῶν μητροπόλεως ἐκάλεσαν· σὺν χρόνῳ δ' ἐπισυρρέοντες ἢ διαφθείροντες, ἢ ἐς τὴν ἀλβανῶν σύγκρισιν, ἀλβησίας αὖθις καλοῦσιν· τούτων τότε τῶν ἀλβησίων ἐς ῥώμην δισχίλιοι δρόμῳ διέθεον, τοῦ κινδύνου μετασχεῖν. καὶ ἅμα ἀφικνοῦντο, καὶ ὡπλίζοντο, καὶ τὰς πύλας ἐφρούρουν. τοσήνδε προθυμίαν βραχὺ πολίχνιον ἐκ τοσῶνδε ἀποικιῶν ἐχρήσατο μόνη, οἷόν τι καὶ ἀθηναίοις ἐς μαραθῶνα μικρὰ πόλις ἡ πλαταιέων ἔδραμε, τοῦ τότε κινδύνου μετασχεῖν.

τῶν δὲ στρατηγῶν Ἄννιος μὲν κατὰ τύχην παρέμενε, κἀκεῖνος ἡγούμενος ἑλεῖν Καπύην. Κλαύδιος δὲ Φλάκκος ἐπὶ ταῖς ὁδοῖς ἐπιχθεὶς ἀλέκτῳ τάχει ἀντεστρατοπέδευσε τῷ Ἀννίβᾳ, μέσον ἔχων τὸν ἀνίλωνα. τοῦ δὲ Ἀννίβα τὴν γέφυραν εὑρόντι λελυμένην καὶ τὸν Κλαύδιον ἀντικαθήμενον, ἔδοξε τὰς πηγὰς τοῦ ποταμοῦ περιοδεῦσαι. καὶ ὁ μὲν Κλαύδιος ἀντιπαρώδευεν. ὁ δὲ καὶ ὡς ἐνήδρευε, νομάδας ἱππέας ὑπολιπών, οἳ τῶν στρατῶν ἀναστάντων τὸν ἀνίλωνα ἐπέρασαν, καὶ τὰ ῥωμαίων ἐδῄουν μέχρι περὶ τὴν πόλιν αὐτὴν γενόμενοι, καὶ φοβήσαντες ἐπέστρεψαν ἐς Ἀννίβαν. οὕτω γὰρ αὐτοῖς παρήγγελτο. αὐτὸς δέ, ἐπεὶ τάς τε πηγὰς τοῦ ποταμοῦ περιῆλθεν, καὶ ὁδὸς ἦν ἐς τὸ ἄστυ οὐ πολλή, λέγεται μὲν νυκτὸς σὺν τρισὶν ὑπασπισταῖς λαθὼν κατασκέψασθαι τὸ ἄστυ, καὶ τῆς δυνάμεως ἐρημίαν καὶ θόρυβον τὸν ἐπέχοντα ἰδεῖν· ἀναστρέψαι δ᾽ ἐς Καπύην, εἴτε θεοῦ περιάγοντος αὐτὸν αἰεί, ὡς καὶ τότε, εἴτε τὴν τῆς πόλεως ἀρετὴν καὶ τύχην δείσας· εἴτε, ὡς αὐτὸς τοῖς ἐσβαλεῖν προτρέπουσιν ἔλεγεν, οὐκ ἐθέλων τὸν πόλεμον ἐκλῦσαι, δέει καρχηδονίων, ἵνα μὴ καὶ τὴν στρατηγίαν ἀποθῆται. οὐ γὰρ ὅγε σὺν Κλαυδίῳ στρατὸς ἦν αὐτῷ πάμπαν ἀξιόμαχος. ὁ δὲ Κλαύδιος ἀναστρέφοντι παρείπετο, κωλύων τε προνομεύειν, καὶ φυλασσόμενος μηδὲν ἐξ ἐνέδρας παθεῖν. ὁ δ᾽ ἐπιτηρήσας νύκτα ἀσέληνον καὶ χωρίον ἐν ᾧ Κλαύδιος ἐπέρασεν, τεῖχος μὲν οὐκ ἔφθανεν ἐγεῖραι, τάφρον δ᾽ ὀρυξάμενος, καὶ διαστήματα ἀντὶ πυλῶν καταλιπών, καὶ τὸ χῶμα περιβαλὼν ἀντὶ τείχους, ἡσύχαζεν· ἔς τε λόφον ὑπερκείμενον αὐτοῦ καρτερὸν ἔπεμψε λαθὼν ἱππέας, οἷς εἴρητο ἡσυχάζειν ἕως οἱ ῥωμαῖοι τὸν λόφον, ὡς ἔρημον ἀνδρῶν, καταλαμβάνωσι. τοῖς δ᾽ ἐλέφασι τοῖς ἰνδοῖς ἐπιβῆσαι, ἐκέλευσεν ἐς τὸ τοῦ Κλαυδίου στρατόπεδον ἐσβιάζεσθαι διά τε τῶν διαστημάτων καὶ διὰ τῶν χωμάτων, ὡς δύναιντο· σαλπικτὰς

πικτὰς δὲ αὐτοῖς καὶ βυκανητάς τινας ἐξ ὀλίγου διαστήματος ἐπειδὴ κελεύσαι, προσέταξεν, ὅταν ἔνδον γένωνται, τοὺς μὲν, θόρυβον πολὺν ἐγείρειν περιθέοντας, ἵνα πολλοὶ δόξωσιν εἶναι· τοὺς δὲ, ῥωμαΐζοντας βοᾶν ὅτι Κλαύδιος ὁ ῥωμαίων στρατηγὸς κελεύει τὸ στρατόπεδον ἐκλείποντας, ἐπὶ τὸν ἐγγὺς λόφον ἀναπηδᾶν. τόδε μὲν ἦν τὸ στρατήγημα τοῦ Ἀννίβου. καὶ τούτων τὰ μὲν πρῶτα πάντα κατὰ νοῦν ἀπήντησεν· οἵ τε γὰρ ἐλέφαντες ἐσῆλθον, τοὺς φύλακας καταπατήσαντες, καὶ οἱ σαλπικταὶ τὸ αὐτὸ ἐποίουν, καὶ ὁ θόρυβος ῥωμαίοις ἐξ εὐνῆς ἀνισταμένοις ἐν μελαίνῃ νυκτὶ ἀδόκητος ἐμπεσὼν, ἐπιφοβώτατος ἦν· τῶν τε ῥωμαϊζόντων ἀκούοντες ὅτι παρήγγελται φεύγειν ἐς τὸν λόφον, περὶ τοῦτο ἐγίγνοντο· Κλαύδιος δὲ αἰεί τινα προσδοκῶν ἐνέδραν, καὶ τοῦτο ὑποπτεύων ἐν ἅπασι τοῖς Ἀννίβου, εἴτε ὑπ' οἰκείας τότε συνέσεως, εἴτε θεολήπτῳ γνώμῃ προσπεσὼν, εἴτε παρὰ αἰχμαλώτου τὰ ἀκριβέστατα μαθὼν, τοὺς χιλιάρχους ὀξέως ἐπέστησε ταῖς εἰς τὸν λόφον ἀγούσαις ὁδοῖς, κωλύειν τοὺς δι' αὐτῶν φερομένους, καὶ μεταδιδάσκειν ὅτι τοῦτ' οὐχ ὁ στρατηγὸς ῥωμαίων, ἀλλ' Ἀννίβας ἐκήρυξεν ἐνεδρεύων. αὐτὸς δὲ τοῖς χώμασιν φυλακὰς ἀκριβεῖς ἐπιστήσας, μή τις ἔφοδος ἔξωθεν ἄλλη γένοιτο, ἐβοηδρόμει μεθ' ἑτέρων ἀνὰ τὸ στρατόπεδον ἅπαντα ἔχειν ἀσφαλῶς, καὶ ὀλίγους τοὺς μετὰ τῶν ἐλεφάντων ἐσελθόντας εἶναι· δᾷδάς τε ἧπτε καὶ πῦρ πανταχόθεν ἦγρε, καὶ καταφανὴς ἦν ἡ τῶν ἐσελθόντων ὀλιγότης. ὥστε αὐτῶν πάνυ καταφρονήσαντες οἱ ῥωμαῖοι, ἐς ὀργὴν ἐκ τοῦ πρὶν δέους μεταβαλόντες, ἀμαυρῶς, οἷα ψιλοὺς καὶ ὀλίγους, διέφθειραν. οἱ δὲ ἐλέφαντες, οὐκ ἔχοντες εὐρύχωρον οὐδὲν ἐς ἀναστροφὴν, εἰλούμενοι περὶ σκηνὰς καὶ φάτνας, ἐβάλλοντο πρὸς ἁπάντων ἐπιτυχῶς, διὰ τὴν στενότητα τοῦ χωρίου καὶ τὸ μέγεθος τῶν σωμάτων· μέχρι περιαλγοῦντές τε καὶ ἀγανακτοῦντες καὶ ἐπιδραμεῖν ἐς τοὺς πολεμίους

οὐκ ἔχοντες, τοὺς ἐπιβάτας σφῶν ἀπιστίοντο καὶ κατεπάτουν, σὺν ὀργῇ καὶ βοῇ πάνυ ἠχειωμένῃ· καὶ ἐξεπήδων ἐκ τοῦ στρατοπέδου. Κλαύδιος μὲν δὴ Φλάκκος ἀσταθῶς καὶ ἀμηχάνως, αἰφνιδίως συνενεχθεὶς ἐνέδρᾳ, περιῆν τοῦ Αννίβου, καὶ τὸν στρατὸν περιέσωζεν, αἰεὶ πεφεικότα τὰς Αννίβου μηχανάς· ὁ δ' Αννίβας, ἐπεὶ τῆς πείρας ἀπέτυχεν, ἐς πλευκανοὺς διελθὼν, ἐχείμαζε· καὶ ἐπὶ τρυφῆς ἦν οὐ συνήθοις, ἐρωμένην τε εἶχεν ἄγειος ἀνήρ· καὶ εὐθὺς αὐτῷ κατ' ὀλίγον ἐτρέπετο πάντα. Κλαύδιος δὲ ἐς καπύην πρὸς τὸν συστράτηγον ἐπανῄει, καὶ τοῖς καπυαίοις προσέβαλλον ἄμφω καρτερῶς, ἐπειγόμενοι χειμῶνος ἑλεῖν τὴν πόλιν, ἕως Αννίβας ἠρεμεῖ. καπυαῖοι δέ, τῶν τροφῶν σφᾶς ἐπιλειπουσῶν, καὶ οὐδαμόθεν ἄλλων ἐπεισαγομένων, ἐνεχείρισαν ἑαυτοὺς τοῖς στρατηγοῖς· ἐνεχείρισαν δὲ καὶ ὅσοι λιβύων αὐτοὺς ἐφρούρουν, αὐτοῖς στρατηγοῖς Αννωνι ἑτέρῳ καὶ Βωτᾷ. ῥωμαῖοι δὲ τῇ μὲν πόλει φρουρὰν ἐπέστησαν, καὶ ὅσους εὗρον αὐτομολοῦντας, χεῖρας αὐτῶν ἀπέτεμον· λιβύων δὲ τοὺς μὲν ἐπιφανεῖς ἐς ῥώμην ἔπεμψαν, τοὺς δὲ λοιποὺς ἀπέδοντο. καὶ καπυαίων αὐτῶν τοὺς μὲν αἰτίους μάλιστα τῆς ἀποστάσεως ἀπέκτειναν, τῶν δ' ἄλλων τὴν γῆν ἀφείλοντο μόνον. εὔφορος δέ ἐστιν ἐς σῖτον ἡ περὶ τὴν καπύην πᾶσα· πεδιὰς γάρ ἐστιν. καπύη μὲν δὴ πάλιν ἐς ῥωμαίους ἐπανῆκτο, καὶ μέγα τοῦτο λιβύων ἐς τὴν ἰταλίαν πλεονέκτημα περιῄρητο. ἐν δὲ βρυττίοις, οἳ μέρος εἰσὶν τῆς ἰταλίας, ἀνὴρ ἐκ πόλεως ταυρίας, φρουρουμένης ὑπὸ τῶν λιβύων, ἔθισας αἰεί τι λῄζεσθαι καὶ φέρειν τῷ φρουράρχῳ, καὶ παρὰ τοῦτο αὐτῷ συνήθης εἰς πάντα γεγονώς, καὶ σχεδὸν συστράτηγος, ἤλγει τῶν φρουρῶν ἐς τὴν πατρίδα ὑβριζόντων. συνθέμενος οὖν τῷ ῥωμαίων στρατηγῷ καὶ πιστὰ δοὺς καὶ λαβών, ἑκάστοτέ τινας, ὡς αἰχμαλώτους, ἐσῆγεν ἐς τὴν ἄκραν, καὶ τὰ ὅπλα αὐτῶν ἐσέφερεν ὡς σκῦλα· ἐπεὶ δὲ

πλέονες ἐγένοντο, ἐξέλυσεν αὐτοὺς καὶ ὥπλισε, καὶ τὴν λιβύων φρουρὰν ἀνεῖλε, καὶ παρὰ ῥωμαίων ἄλλην ἐσηγάγετο. Ἀννίβου δὲ οὐ πολὺ ὕστερον παροδεύοντος αὐτοὺς, οἱ μὲν φρουροὶ, καταπλαγέντες, ὑπὸ τοῦ δέους ἐξέφυγον ἐς ῥήγιον· οἱ δὲ πιστᾶται παρέδωκαν αὐτοὺς τῷ Ἀννίβᾳ. καὶ ὁ Ἀννίβας τοὺς μὲν αἰτίους τῆς ἀποστάσεως ἔκαυσε, τῇ δὲ πόλει φρουρὰν ἐπέστησεν ἄλλην. ἐν δὲ πόλει σαλαπίᾳ λιβύων ὑπηκόῳ δύο ἤστην ἄνδρε τῶν μὲν ἄλλων γένει καὶ πλούτῳ καὶ δυνάμει διαφέροντε, ἀλλήλοιν δὲ καὶ πολὺ διαφόρω· τούτοιν Δάσιος μὲν τὰ λιβύων ᾑρεῖτο, Βλάπιος δὲ τὰ ῥωμαίων. ἕως μὲν οὖν ἤκμαζε τὰ Ἀννίβου, ἐφ' ἡσυχίας ἦν ὁ Βλάπιος· ἐπεὶ δὲ ἠγείρετο τὰ ῥωμαίων καὶ τὰ πολλὰ τῆς ἐσφετερισμένης ἀρχῆς ἀνελάμβανον, ἔπειθεν ὁ Βλάπιος τὸν ἐχθρὸν ὑπὲρ τῆς πατρίδος αὐτῷ συμφρονῆσαι μόνης, μή τι πάθοι, ῥωμαίων αὐτὴν βίᾳ λαβόντων, ἀνήκεστον. ὁ δὲ ὑποκρινάμενος συντίθεσθαι, κατεμήνυσε τοῦτο Ἀννίβᾳ. καὶ ἐδίκαζεν αὐτοῖς ὁ Ἀννίβας, Δασίου μὲν κατηγοροῦντος, Βλαπίου δὲ ἀπολογουμένου, καὶ συκοφαντεῖσθαι διὰ τὴν ἔχθραν λέγοντος· ὃ καὶ πως ἄρα προορῶν, ἐτόλμησεν ἐχθρῷ προσενεγκεῖν λόγον τοιόνδε, ὡς ἀπίστῳ κατηγόρῳ διὰ τὴν ἔχθραν ἐσομένῳ. Ἀννίβας δὲ οὔτε ἀπορρῖψαι τὸ ἔργον, οὔτε τῷ παρ' ἐχθροῦ πιστεῦσαι ῥᾳδίως ἀξιῶν, μεθίστατο αὐτοὺς, ὡς σκεψόμενος ἐφ' ἑαυτοῦ. στενῆς δὲ τῆς ἐξόδου πάμπαν οὔσης, ὁ Βλάπιος ἔφη τῷ Δασίῳ, τοὺς ἄλλους λαθὼν, οὐ σώσεις ἀγαθὲ τὴν πατρίδα; ὁ δὲ καὶ τοῦτο εὐθὺς ἐκβοήσας ἐμήνυεν. καὶ ὁ Βλάπιος οἰκτισάμενος, τότε μάλιστα ἀξιοπίστως εἶπεν ὡς ἐπιβουλεύοιτο ὑπ' ἐχθροῦ τεχνίτου. τοῦτο δὲ ἔφη τὸ νῦν ἐπιβούλευμα, καὶ τῆς πρότερον ἀμφιλογίας, εἴ τις ἦν, ῥύσεταί με. τίς γὰρ ἂν ἢ πρότερον ἐχθρῷ περὶ τοιῶνδε διεπίστευσεν· ἢ νῦν, εἰ καὶ πως ἐπεπλάνητο, ἀπίστῳ καὶ κατηγόρῳ περὶ ἐκεῖνα γεγενημένῳ, κινδυνεύων

ἔτι καὶ κρινόμενος καὶ ἀρνούμενος, αὖθις αὖ τὰ δεύτερα τοῦτ' ἐθάῤῥησεν εἰπεῖν, καὶ μάλιστα ἐν τῷ δικαστηρίῳ, πολλῶν μὲν ἀκοῦσαι δυναμένων, τοῦ δὲ κατηγόρου καὶ τόδε μέλλοντος εὐθὺς ὁμοίως ἐρεῖν; εἰ δὲ δὴ καὶ ἐγεγόνει τοῦτο, ἔφη, χρηστὸς ἐξαίφνης καὶ φίλος, τί μοι συλλαβεῖν ὑπὲρ τῆς πατρίδος ἔτι δυνατὸς ἦν; τί δ' ἂν ἐδεόμην ἐγὼ μηδὲν ἐπικουρεῖν δυναμένου; ἅ μοι δοκεῖ προϊδὼν πάλιν ὁ Βλάτιος, ψιθύρως ἐντυχεῖν τῷ Δασίῳ, καὶ ἐς ἀπιστίαν αὐτὸν ἐμβαλεῖν μείζονα· ἐπαγαγέσθαι δ' ἐκ τοῦδε καὶ Αννίβαν ἐς ἀπιστίαν τῶν προτέρον εἰρημένων. οὐ μὴν οὐδὲ ἐκφυγὼν τὴν δίκην ὁ Βλάτιος ἀφίστατο μὴ μεταπείθειν τὸν ἐχθρὸν, καταφρονῶν ἄρα ὡς ἐς πάντα γεγονότος ἀπίστου. ὁ δὲ αὖθις ὑπεκρίνετο σωπήσεσθαι, καὶ τὴν ἐπίνοιαν τῆς ἀποστάσεως ᾔτει μαθεῖν. ὁ δὲ, οὐδὲν ὀκνήσας, ἔφη, διαδημοῦμαι μὲν ἐπί τι τῶν στρατοπέδων ἐγὼ τῶν ῥωμαϊκῶν (μηνύσας αὐτὸ τὸ πάνυ πορρωτάτω) καὶ στρατιὰν ἄξω λαβών· ἔστι γάρ μοι φίλος ὁ στρατηγὸς ἐκείνου τοῦ στρατοῦ· σὺ δ' ὑπομένειν μοι δεῦρο καὶ τὰ ἔνδον ἐπιτηρεῖν. ὁ μὲν εἶπεν οὕτω, καὶ εὐθὺς ἐξέδραμε, λαθὼν Δάσιον, οὐκ ἐς ἐκεῖνο τὸ στρατόπεδον, ἀλλ' ἐς ῥώμην ὁδὸν ἐλάσσον· καὶ δοὺς τῇ βουλῇ τὸν υἱὸν ὅμηρον, ἱππέας ᾔτει χιλίους, μεθ' ὧν ἠπείγετο κατὰ σπουδὴν, τὸ μέλλον ἔσεσθαι προορώμενος. ὁ δὲ Δάσιος ταῖς ἐπιούσαις ἡμέραις τὸν ἐχθρὸν οὐχ ὁρῶν, εἴκασεν αὐτὸν ἐγχειρεῖν τοῖς ἐγνωσμένοις, ὡς ἤδη πιστεύοντα αὐτῷ. νομίσας οὖν ἐς ἐκεῖνο τῷ ὄντι τὸ πορρωτέρω στρατόπεδον αὐτὸν οἴχεσθαι, διέδραμε πρὸς Αννίβαν, καταφρονῶν ὅτι φθάσει ἐκεῖνον ἐπανελθών· καὶ, νῦν μὲν, ἔφη, παραδώσω σοι τὸν Βλάτιον ἐπ' αὐτοφώρῳ στρατιὰν ἐπάγοντα τῇ πόλει. καὶ τὸ γεγονὸς ἐκθέμενος, καὶ λαβών τινας, ἐπανῄει ἐς τὴν πατρίδα μετὰ σπουδῆς, ὡς οὔπω τοῦ Βλατίου πλησιάζοντος. ὁ δ' ἔνδον τε τὴν ἄρτι καὶ τὴν φρουρὰν τῶν λιβύων, ὀλίγην οὖσαν, ἀνελὼν, ἐφύλασσε μη-

δεῖνα παρελθεῖν· καὶ πύλας τὰς μὲν ἄλλας ἐκεκλείκει, τὰς δ' ἐς τὴν ἐπάνοδον Δασίου μόνας εἴασεν ἀνεῷχθαι, καὶ τὸ κατ' ἐκείνας μέρος ἅπαν εἶχεν ἀνυπόπτως· τὰ δ' ἐντὸς ἐξεπεπάφρακτο καὶ διειλήπτο, ὡς μὴ δύνασθαι τοὺς ἐμπεσόντας ἐς πόλιν διαδραμεῖν. Δάσιος δὲ, ἐπεὶ τὰς πύλας εἶδεν ἀνεῳγμένας, ἥσθη, νομίσας περιλαβεῖν τὸν ἐχθρὸν, καὶ ἐσήλαυνε γεγηθώς. ὁ δ' ἐπικλείσας διέφθειρεν αὐτόν τε καὶ τοὺς ἐσδραμόντας, ὠθουμένους ἐν στενῷ, καὶ διαδρομὴν διὰ τὰς τάφρους οὐκ ἔχοντας· ὀλίγοι δ' αὐτῶν διὰ τοῦ τείχους ἐξαλόμενοι διέφυγον. καὶ Βλάττιος μὲν οὕτω περιῆν, Δασίου τέχναις ἀντενεδρεύων. Φούλβιος δὲ ῥωμαίων ὕπατος, ἑρδονίαν ἐπολιόρκει· καὶ αὐτὸν Ἀννίβας ἔλαθεν ἑσπέρας ἐγγὺς γενόμενος, καὶ ἐπεῖπε πυρὰ μὴ καίειν, καὶ σιωπὴν παρήγγελλε. περὶ δὲ ἕω γενομένης ὁμοῦ τι καὶ ὁμίχλης, τοὺς μὲν ἱππέας ἔπεμψεν ἐπιχειρεῖν τῷ ῥωμαίων στρατοπέδῳ· καὶ αὐτοῖς ἠμύνοντο ἐκεῖνοι, σὺν θορύβῳ μὲν, ὡς ἀπ' εὐνῆς, σὺν θάρσει δὲ, οἷα ὀλίγοις ποθὲν αὐτοῖς ἐπιφανέντας. ὁ δ' Ἀννίβας ἐπὶ θάτερα τῷ πεζῷ τὴν πόλιν περιῄει, κατασκεπτόμενος ἅμα, καὶ τοὺς ἔνδον ἐπελπίζων· ἕως ἐπῆλθε τοῖς ῥωμαίοις ἐν τῇ περιόδῳ, εἴτε προϊδόμενος, εἴτε κατὰ συντυχίαν, κυκλούμενος αὐτούς. οἱ δ' ἔπιπτον ἤδη λάβρως καὶ ἀθρόως, ἀμφίβολοι γεγονότες· καὶ ἀπέθανον αὐτῶν ἐς ὀκτακισχιλίους, καὶ ὁ ὕπατος ὁ Φούλβιος. οἱ λοιποὶ δ' ἔς τι χῶμα περὶ τὸ στρατοπέδου ἀναθορόντες, αὐτό τε διέσωσαν, γενναίως ἀμυνόμενοι, καὶ τὸν Ἀννίβαν ἐκώλυσαν λαβεῖν τὸ στρατόπεδον. μετὰ δὲ τοῦτο ῥωμαῖοι μὲν τῶν ἰαπύγων ἀποστάντων ἐδήουν, Ἀννίβας δὲ τῶν καμπανῶν, ἐς ῥωμαίους μεταθεμένων, χωρὶς ἀτέλλης μόνης· καὶ ἀτελλαίους μετῴκιζεν ἐς θουρίους, ἵνα μὴ τῷ βρυττίων καὶ λευκανῶν καὶ ἰαπύγων ἐνοχλοῖντο πολέμῳ. καὶ ῥωμαῖοι τοὺς ἐκ νουκερίας ἐκπεσόντας ἐν ἀτέλλῃ μετῴκιζον· ἔς τε τὴν Ἀννίβου ἔτι ὑπήκοοι ἐσβαλόντες, αὐλωνίαν τε εἷλον καὶ τὴν βρυττίων γῆν

ἐπέτρεχον, καὶ τάραντα φρουρουμένην ὑπὸ Καρθάλωνος, ἐκ γῆς καὶ θαλάσσης ἐπολιόρκουν. ὁ δὲ καὶ Καρθάλων, ὀλίγων καρχηδονίων παρόντων, βρυτίους ἐς τὴν φρουρὰν προσέλαβεν. τῶν δὲ βρυτίων ὁ φρούραρχος ἤρα γυναικός, ἧς ἀδελφὸς ὑπὸ ῥωμαίοις στρατευόμενος, ἔπραξε διὰ τῆς ἀδελφῆς τὸν φρούραρχον ἐνδοῦναι ῥωμαίοις, ἐπάγουσι τὰς μηχανὰς ᾗ τοῦ τείχους αὐτὸς ἐφρούρει. τάραντα μὲν δὴ ῥωμαῖοι τόνδε τὸν τρόπον ἀνέλαβον, εὔκαιρον ἐς πολέμους χωρίον καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν. Αννίβας δὲ ἐπειγόμενος ἐς αὐτήν, ὡς ἔμαθεν εἰλημμένην, παρῆλθεν ἀχθόμενος ἐς θουρίους κἀκεῖθεν ἐς βενυσίαν. ἔνθα αὐτῷ Κλαύδιός τε Μάρκελλος ὁ σικελίαν ἑλών, πέμπτον ὑπατεύων τότε, καὶ Τίτος Κρισπῖνος, ἀντιστρατοπεδεύοντες, οὐκ ἐτόλμων ἄρχειν μάχης. λείαν δέ τινα ὑπὸ νομάδων ἀγομένην Μάρκελλος ἰδών, καὶ δόξας ὀλίγους εἶναι τοὺς ἄγοντας, ἐπέδραμεν αὐτοῖς μετὰ τριακοσίων ἱππέων σὺν καταφρονήσει· καὶ πρῶτος ἡγεῖτο, θυμικὸς ὢν ἐς μάχας καὶ παρακινδυνευτικὸς αἰεί· ἄφνω δὲ πολλῶν τῶν λιβύων φανέντων, καὶ πανταχόθεν αὐτῷ προσπεσόντων, οἱ μὲν οὐραγοῦντες ῥωμαίων, πρῶτοι φυγῆς ἦρχον· ὁ δὲ Μάρκελλος, ὡς ἑπομένων αὐτῶν, ἐμάχετο γενναίως· μέχρι κατακοντισθεὶς ἀπέθανε· καὶ αὐτοῦ τῷ σώματι ὁ Αννίβας ἐπιστάς, ὡς εἶδε τὰ τραύματα ἐπὶ στέρνων, ἐπῄνεσε μὲν ὡς στρατιώτην, ἐπέσκωψε δὲ ὡς στρατηγόν· καὶ τὸν δακτύλιον αὐτοῦ περιελών, τὸ μὲν σῶμα ἔκαυσε λαμπρῶς, καὶ τὰ ὀστᾶ τῷ παιδὶ προσέπεμψεν ἐς τὸ ῥωμαίων στρατόπεδον. σαλαπίνοις δὲ μηνίων, εὐθὺς ἐτύπωσεν ἐπιστολὴν τῇ σφραγῖδι Μαρκέλλου, πρὶν αἰσθέσθαι πολλοὺς περὶ τοῦ θανάτου· καὶ αὐτόμολον ἄνδρα ῥωμαίων ἔπεμψε φέρειν, δηλοῦντα ὅτι στρατιὰ Μαρκέλλου κατόπιν ἔρχοιτο, καὶ ὁ Μάρκελλος αὐτὴν ὑποδέξασθαι κελεύοι. ἄρτι δ' εἰλήφεσαν Κρισπίνου γράμματα, περιπέμψαντος ἐς ἅπαντας ὅτι τῆς Μαρκέλλου σφραγῖδος Αννίβας κεκρατή-

κοι. τὸν οὖν ἄγγελον, ἵνα μὴ παρὰ μέρος ἐπιγνοίη τὰ γιγνόμενα, ἀπέπεμψαν, ὑποσχόμενοι τὰ προσταττόμενα ποιήσειν· αὐτοὶ δὲ ὁπλισάμενοι, τὴν ἐνέδραν ἐπὶ τῶν τειχῶν ἀνέμενον, καὶ προσιόντος τοῦ Ἀννίβου μετὰ νομάδων, οὓς ῥωμαϊκοῖς ὅπλοις ἐσκευάκασιν, τὰς μὲν πύλας ἐκ μηχανήματος ἀνέῳξαν, ὡς δὴ Μαρκέλλου προσιόντος ἀσμενίζοντες· εἰσδεξάμενοι δὲ ὅσων ἀμαρῶς κρατήσειν ἔμελλον, αὖθις ἐκ τοῦ μηχανήματος αὐτὰς ἐπικαθῆκαν. καὶ τοὺς μὲν ἐσελθόντας ἔκτειναν, τοὺς δὲ ἔξω τῶν τειχῶν ἔτι περιεστῶτας, ἄνωθεν ἔβαλλόν τε καὶ κατετίτρωσκον. καὶ δευτέρας τῆσδε πείρας ὁ Ἀννίβας ἐπὶ τῇ πόλει σφαλεὶς ἀπεχώρει. ἐν τούτῳ δὲ καὶ Ἀσδρούβας ὁ ἀδελφὸς Ἀννίβου τὴν στρατιὰν ἣν ἐξενάγησεν ἐν τοῖς κελτίβηρσιν, ἔχων, διέβαινεν ἐς τὴν ἰταλίαν· καὶ κελτῶν φιλίως αὐτὸν δεχομένων, τὰ ἄλπια ὄρη ὡδοποιημένα πρότερον ὑπὸ Ἀννίβου, διώδευε δύο μησίν, ὅσα τέως Ἀννίβας ἓξ διῆλθεν· ἐσέβαλέ τε ἐς τυρρηνίαν, ἄγων πεζοὺς μὲν τετρακισμυρίους ἐπὶ ὀκτακισχιλίοις, ἱππέας δὲ ὀκτακισχιλίους, καὶ ἐλέφαντας πεντεκαίδεκα. καὶ γράμματα πρὸς τὸν ἀδελφὸν ἔπεμπε, δηλῶν ὅτι παρείη. τούτων τῶν γραμμάτων ὑπὸ ῥωμαίων ἁλόντων, οἱ ὕπατοι Σαλινάτωρ καὶ Νέρων μαθόντες αὐτοῦ τὸ πλῆθος τῆς στρατιᾶς ἀπὸ τῶν γραμμάτων, συνῆλθον ἐς τὸ αὐτὸ πάσαις ταῖς δυνάμεσιν, καὶ ἀντεστρατοπέδευον αὐτῷ περὶ πόλιν σήνας. ὁ δὲ οὔπω μάχεσθαι κεκρικώς, ἀλλὰ τῷ ἀδελφῷ συνελθεῖν ἐπειγόμενος, ὑπεχώρει. καὶ νυκτὸς ἀναζεύξας, περὶ ἕλη καὶ τέλματα καὶ ποταμὸν οὐκ εὔπορον ἠλᾶτο· μέχρι φανείσης ἡμέρας οἱ ῥωμαῖοι καταλαβόντες αὐτοὺς διερριμμένους τε καὶ κεκμηκότας ὑπὸ ἀγρυπνίας καὶ κόπου, πλείστους μὲν αὐτῶν ἅμα τοῖς ταξιάρχοις συντασσομένους ἔτι καὶ συνιόντας διέφθειραν, καὶ αὐτὸν ἐπὶ ἐκείνοις Ἀσδρούβαν· πλείστους δὲ αἰχμαλώτους ἔλαβον· καὶ μεγάλου δέους ἀπήλλαξαν τὴν ἰταλίαν, ἀμάχου ὄντος σφίσι τοῦ Ἀννίβου γενομένου, εἰ καὶ τήνδε τὴν στρατιὰν προσέλαβεν. θεὸς δέ μοι δοκεῖ τόδε ῥω-

ἀντιδοῦναι τῆς ἐπὶ Κάνναις ἀτυχίας, οὐ πόρρωτε ἀπ' ἐκείνης καὶ ἰσοστάσιόν πως ἐκείνῃ γενόμενον. στρατηγοί τε γὰρ οἱ ἑκατέρων ἀπώλοντο, καὶ στρατοῦ πλῆθος ἐγγυτάτω μάλιστα ἐπίσης· καὶ τὰ αἰχμάλωτα, πολλὰ γενέσθαι καὶ τοῖσδε κἀκείνοις συνηνέχθη· στρατοπέδου τε καὶ παρασκευῆς τῆς ἀλλήλων δαψιλοῦς ἐκράτουν ἑκάτεροι. οὕτω παραλλὰξ ἡ πόλις ἀτυχιῶν καὶ συμφορῶν ἐπειρᾶτο. κελτιβήρων δ' ὅσοι διέφυγον ἐκ τοῦ κακοῦ, οἱ μὲν ἐς τὰ οἰκεῖα, οἱ δ' ἐς Ἀννίβαν ἐχώρουν. ὁ δ' ἐπί τε τῷ ἀδελφῷ καὶ στρατιᾷ τοσῇδε δι' ἀπειρίαν ὁδῶν ἀφνίδιον ἀπολωλυίᾳ δυσφορῶν, καὶ τεσσαρεσκαιδέκατον ἔτος ἔχων ἐν πόνοις ἀτρύτοις, ἐξ οὗ ῥωμαίοις ἐν ἰταλίᾳ διεπολέμει, πάντων τε ὧν εἰλήφει πρότερον, ἐκπεπτωκώς, ἐς βρυτίους, ὅπερ αὐτῷ λοιπὸν ἔθνος ὑπήκοον ἦν, ἀνεχώρει· καὶ ἡσύχαζεν, ὡς ἑτέρας δυνάμεως ἀφιξομένης ἀπὸ καρχηδόνος. οἱ δ' ἔπεμψαν μὲν αὐτῷ ναῦς ἑκατὸν στρογγύλας, ἐφ' ὧν σῖτός τε ἦν καὶ στρατιὰ καὶ χρήματα· οὐδενὸς δ' ἐρετικοῦ παραπέμποντος αὐτάς, ἄνεμος ἐς σαρδόνα κατήνεγκεν· καὶ ὁ τῆς σαρδόνος στρατηγὸς ἐπιπλεύσας μακραῖς ναυσίν, κατέδυσε μὲν αὐτῶν εἴκοσιν, ἑξήκοντα δ' ἔλαβεν· αἱ δὲ λοιπαὶ διέφυγον ἐς καρχηδόνα. καὶ ὁ Ἀννίβας ἔτι μᾶλλον ἀπορούμενός τε, καὶ τὰ παρὰ καρχηδονίων ἀπεγνωκώς, οὐδὲ Μάγωνος αὐτῷ τι, τοῦ ξενολογοῦντος ἐν κελτοῖς καὶ λίγυσιν, ἐπιπέμποντος, ἀλλὰ τὸ μέλλον ἔσεσθαι περιορωμένου· συνιδὼν ὅτι μηδὲ ἐπὶ πλεῖον οὐ δυνήσεται, αὐτῶν ἤδη βρυτίων, ὡς ἀλλοτρίων ὅσον οὔπω γενησομένων, κατεφρόνει, καὶ ἐσφορὰς ἐπέβαλλεν αὐτοῖς πάνυ πολλάς, τάς τε ὀχυρὰς τῶν πόλεων μετῴκιζεν ἐς τὰ πεδινά, ὡς βουλευούσας ἀπόστασιν· πολλούς τε τῶν ἀνδρῶν αἰτιώμενος διέφθειρεν, ἵνα τὰς περιουσίας αὐτῶν σφετερίζοιτο. καὶ ὁ μὲν ἐν τούτοις ἦν· ἐν δὲ ῥώμῃ γίγνονται μὲν ὕπατοι Λικίννιός τε Κράσσος καὶ Πούπλιος Σκιπίων ὁ λαβὼν ἰβηρίαν· τούτων δὲ Κράσσος μὲν ἀντεστρατοπέδευεν

Ἀννίβα περὶ ἰαπυγίαν· Σκιπίων δὲ τὸν δῆμον ἐδίδασκεν, οὔποτε καρχηδονίους οὐδ' Ἀννίβαν ἀποστήσεσθαι σφίσιν ἐνοχλοῦντας ἀμφὶ τὴν ἰταλίαν, εἰ μὴ ῥωμαίων στρατὸς ἐς λιβύην διέλθοι, καὶ κίνδυνον αὐτοῖς ἐπιστήσειεν οἰκεῖον. λιπαρήσας τε πάνυ καρτερῶς καὶ πείσας ὀκνοῦντας, ᾑρέθη στρατηγὸς αὐτὸς ἐς λιβύην, καὶ διέπλευσεν εὐθὺς ἐς σικελίαν. ἔνθα στρατὸν ἀγείρας τε καὶ γυμνάσας, ἐπέπλευσε λοκροῖς ἄφνω τοῖς ἐν ἰταλίᾳ φρουρουμένοις ὑπὸ Ἀννίβου· καὶ τὴν φρουρὰν κατασφάξας τε καὶ παραδοὺς Πλημινίῳ τὴν πόλιν, αὐτὸς ἐς λιβύην διέπλευσεν. Πλημίνιος δὲ οὐδεμίαν ὕβριν ἢ ἀσέλγειαν ἢ ὠμότητα ἐς τοὺς λοκροὺς ἐκλιπὼν, ἐσύλησε λήγων καὶ τὸ τῆς φερσεφόνης ἱερόν. καὶ τὸν δὲ μὲν ῥωμαῖοι μετὰ τῶν συναμαρτόντων αὐτῷ φίλων διέφθειραν ἐν τῷ δεσμωτηρίῳ, καὶ τὰς περιουσίας αὐτῶν ἔδοσαν λοκροῖς ἐς τὸν θησαυρὸν τῆς θεοῦ φέρειν· ὅσα τε ἄλλα ἐδύναντο τῶν ἀπολωλότων, ἀνευρόντες, τὸ λοιπὸν ἐκ τοῦ κοινοῦ σφῶν ταμιείου τῇ θεῷ προσέθεσαν. τοῦ δὲ αὐτοῦ χρόνου κωσεντίαν τε μεγάλην πόλιν βρυτίων, καὶ ὀλίγας ἄλλας ἐπ' αὐτῇ περιέσπασεν ἀπὸ Ἀννίβου Κράσσος. καὶ γιγνομένων ἐν ῥώμῃ σημείων ἐκ διὸς φοβερῶν, οἱ μὲν τὰ σιβύλλεια ἐπισκεπτόμενοι δέκα ἄνδρες, ἔφασαν ἐξ οὐρανοῦ τι ἐς πισινοῦντα τῆς φρυγίας, ἔνθα σέβουσιν οἱ φρύγες θεῶν μητέρα, πεσεῖσθαι τῶνδε τῶν ἡμερῶν, καὶ δεῖν αὐτὸ ἐς τὴν ῥώμην ἐνεχθῆναι. μετ' οὐ πολὺ δὲ πεσεῖν τε προσηγγέλθη καὶ ἐς ῥώμην ἐκομίσθη τὸ βρέτας· καὶ τὴν ἡμέραν ἑορτάζουσιν ἔτι νῦν μητρὶ θεῶν ᾗ τότε ἐκομίσθη. λέγεται δὲ τὴν ναῦν, ἣ ἔφερεν αὐτὸ, ἰλύϊ τοῦ ποταμοῦ τοῦ Τιβέριος ἐνσχεθεῖσαν, οὐδεμιᾷ μηχανῇ σαλεύεσθαι, μέχρι τῶν μάντεων προειπόντων νέμεσθαι μόνως, εἰ γυνὴ καθαρεύουσα ξένων ἀνδρῶν, ἑλκύσειεν, Κλαυδίαν Κυϊντίαν μοιχείας ἔγκλημα ἔχουσαν ἔτι ἄκριτον καὶ δι' ἀσωτίαν ἐς αὐτὸ πιθανωτάτην οὖσαν, ἐπιθειάσαι τε πολλὰ περὶ τῆς ἀμαρ-

τίας καὶ ἀναδήσασθαι τῇ μίτρᾳ τὸ σκάφος· καὶ ἡ θεὸς ἕσπε-το. Κλαυδία μὲν δὴ ἐξ αἰσχίστης δόξης ἐς ἀρίστην μετέβαλεν. ῥωμαίοις δὲ καὶ πρὸ τῆς Κλαυδίας ἐκέλευε τὰ σιβύλλεια διὰ τοῦ παρὰ σφίσιν ἀρίστου τὸ βρέτας ἐκ φρυγίας μεταγαγεῖν. καὶ τὸν ἄριστον ἐν τῷ τότε σφίσι δοκοῦντα εἶναι Σκιπίωνα τὸν Νασικᾶν ἐπίκλην ἐπεπόμφεσαν, υἱὸν μὲν ὄντα Γναίου Σκιπίωνος τοῦ στρατηγήσαντος ἐν ἰβηρίᾳ καὶ ἐν αὐτῇ πεσόντος, ἀνεψιὸν δὲ Σκιπίωνος τοῦ καρχηδονίους ἀφελομένου τὴν ἡγεμονίαν, καὶ πρῶτου κληθέντος Ἀφρικανοῦ. ὧδε μὲν ἡ θεὸς ἐς ῥώμην δι' ἀνδρῶν καὶ γυναικῶν ἀρίστων ἀφικνεῖτο. ἐν δὲ λιβύῃ, καρχηδονίων συνεχῶς ὑπὸ τοῦδε τοῦ Σκιπίωνος ἡττωμένων, ὅσοι βρυττίων ταῦτα ἐγίγνωσκον, ἀφίσταντο ἀπὸ τοῦ Ἀννίβου, καὶ τὰς φρουρὰς οἱ μὲν ἔκτεινον, οἱ δ' ἐξέβαλλον· οἱ δὲ οὐδέτερα τούτων δυνάμενοι, λάθρα πρὸς τὴν σύγκλητον ἐπρέσβευον, τὴν μὲν ἀνάγκην αὐτῶν καὶ τὴν προαίρεσιν ὑποδεικνύοντες. Ἀννίβας δὲ ἐς μὲν πετηλίαν ἔνοπλος παρῆλθεν, οὐκ ἔτι πετηλίνων ἐχόντων αὐτήν· ἐκβαλὼν γὰρ αὐτούς, ἐδεδώκει βρυτίοις· ᾐτιᾶτο δ' ὅτι ἐπρέσβευσαν ἐς ῥώμην. ἀρνουμένων δ' ἐκείνων, ὑπεκρίνετο πιστεύειν· ἵνα δ' ἔφη μηδ' ὑπονοεῖσθαι, τοὺς μὲν δυνατοὺς παρέδωκε τοῖς νομάσιν, κεχωρισμένως τηρεῖν αὐτῶν ἕκαστον. τοῦ δὲ πλήθους τὰ ὅπλα παρείλετο· τοὺς δὲ δούλους καθοπλίσας, ἐπέστησε τῇ πόλει φύλακας. καὶ τούτοις ὅμοια, τὰς ἄλλας πόλεις ἐπιὼν, ἐποίει. θουρίων δὲ τρισχιλίους καρχηδονίοις μάλιστα εὔνους ἐξελόμενος, καὶ πεντακοσίους ἄλλους ἀπὸ τῶν ἀγρῶν, τὰ λοιπὰ τῇ στρατιᾷ διαρπάζειν ἔδωκε. καὶ τῆς πόλεως ἐγκρατῆ φρουρὰν καταλιπὼν, ἐς κρότωνα τοὺς τρισχιλίους καὶ πεντακοσίους μετῴκιζε, τὴν πόλιν εὔκαιρον ἡγούμενος εἶναι, καὶ ταμιεῖον αὐτὴν ἑαυτῷ καὶ ὁρμητήριον ἐπὶ τὰς ἄλλας τιθέμενος. καρχηδονίων δ' αὐτὸν μετακαλούντων κατὰ σπουδὴν ἐπικουρεῖν κινδυνευούσῃ τῇ πατρίδι ὑπὸ Σκι-

πίωνος, καὶ τὸν ναύαρχον Ἀσδρούβαν ἐπ' αὐτόν, ἵνα μὴ βραδύνειε, πεμψάντων, ἤχθετο μέν, τὴν Καρχηδονίων ἐς τοὺς ἄρχοντας ἀπιστίας τε καὶ ἀχαριστίας ἐς πεῖραν ἐρχόμενος διὰ μακροῦ, καὶ τὴν αἰτίαν ἐδεδοίκει τοῦ τοσοῦδε πολέμου, πρῶτος ἐμβαλὼν ἐν Ἰβηρίᾳ. ἐγνώκει δ' ὑπ' ἀνάγκης ὅμως ἐπιβῆναι, καὶ ναῦς εἰργάζετο πολλάς, ἀξύλου τῆς Ἰταλίας οὔσης. τῶν δ' ἐπ' ὑπηκόων οἱ πόλεων, ὡς ἀλλοτρίων, καταφρονῶν, ἔγνω διαρπάσαι πάσας, καὶ τὴν στρατιὰν πλουτίσας, οὕτως ἐς τὰς ἐν Καρχηδόνι συκοφαντίας ἐπαγαγέσθαι· αἰδούμενός τε αὐτὸς παρασπονδεῖν, Ἀσδρούβαν τὸν ναύαρχον ἐπὶ προφάσει περιέπεμπε, τοὺς φρουροῦντας ὀψόμενον· ὁ δὲ εἰς ἑκάστην πόλιν εἰσιών, ἐκέλευσε τοῖς ἐνοικοῦσιν, αὐτούς τε καὶ δούλους αὐτῶν ὅσα δύναιντο λαβόντας, ἐκ τῶν πόλεων μεθίστασθαι· καὶ τὰ λοιπὰ διήρπαζε. τούτων ἔνιοι πυνθανόμενοι, πρὶν τὸν Ἀσδρούβαν ἥκειν, τοῖς φρουροῖς ἐπετίθεντο· καὶ συνέβαινεν ὅπου μὲν κρατεῖν τὰς πόλεις, ὅπου δὲ τοὺς φρουρούς· σφαγή τε ποικίλη καὶ γυναικῶν ὕβρεις καὶ παρθένων ἁπαγωγαί, καὶ πάντα, ὅσα ἐν πόλεσιν ἑαλωκυίαις, ἐγίγνοντο. αὐτὸς δὲ ὁ Ἀννίβας τοὺς συστρατευομένους οἱ τῶν Ἰταλῶν εἰδὼς εὖ γεγυμνασμένους, ἔπειθε πολλαῖς ὑποσχέσεσιν ἐς τὴν Λιβύην αὐτῷ συστρατεῦσαι. καὶ τούτων οἱ μὲν τὰ ἡμαρτημένα σφίσιν ἐς τὰς πατρίδας δεδιότες, εἵποντο, φεύγοντες τὴν οἰκείαν ἑκόντες· οἱ δὲ οὐδὲν ἁμαρτόντες, ὤκνουν. ἀθροίσας οὖν τούσδε τοὺς ὑπομένειν ἀξιοῦντας, ὡς δή τι λέξων αὐτοῖς ἢ χαριούμενος τῶν γεγονότων, ἢ περὶ τοῦ μέλλοντος ἐπισκήψων, περιέστησε τὴν στρατιὰν ὡπλισμένην ἄφνω, καὶ προσέταξε τοῖς ἰδίοις ἀνδράποδα ἐξ αὐτῶν ὅσα θέλοιεν ἐπιλέξασθαι. ὡς δὲ οἱ μὲν ἐπελέξαντο, οἱ δὲ ᾐδοῦντο συστρατιώτας πολλὰ συνειργασμένους σφίσιν ἀνδραποδίσασθαι, τοὺς λοιποὺς κατηκόντισεν ἅπαντας, τοῦ μὴ τοιούσδε ἄνδρας ποτὲ Ῥωμαίοις γενέσθαι χρησίμους· ἐπικατέσφαξε δ' αὐτοῖς καὶ ἵππους ἐς τετρακισχιλίους,

καὶ πλῆθος ὑποζυγίων, οὐ δυνάμενος ἐς λιβύην ἐπάγεσθαι. μετὰ δὲ τοῦτο ἐς τὰς ναῦς τὸ πλῆθος ἐμβιβάσας, τὸ πνεῦμα ἀνέμενεν, ὀλίγους ἐς φυλακὴν ἐπὶ τῆς γῆς καταλιπών. οἱ δὲ πετηλῖνοι καὶ σὺν αὐτοῖς ἕτεροι ἰταλοὶ ἐπέθεντο, καί τινας αὐτῶν κατασφάξαντες, ἀπέδρασαν. Ἀννίβας δ' ἐπὶ λιβύης ἀνήγετο, ἑκκαίδεκα ἔτεσιν ὁμαλῶς πορθήσας τε τὴν ἰταλίαν, καὶ τοὺς ἄνδρας ἐμπλήσας κακῶν μυρίων, καὶ ἐς κίνδυνον ἔσχατον πολλάκις συναγαγών· τούς τε ὑπηκόους αὐτῶν καὶ συμμάχους ἐνυβρίσας, ὡς πολεμίους. ἅτε γὰρ καὶ τέως αὐτοῖς οὐκ ἐπ' εὐνοίᾳ μᾶλλον ἢ χρείᾳ χρώμενος, οὐδὲν ἔχων ἔτι πρὸς αὐτῶν ὠφελεῖσθαι, κατεφρόνησεν ὡς πολεμίων. Ἀννίβου δ' ἀποπλεύσαντος, ἡ βουλὴ τοῖς μὲν ἄλλοις ἔθνεσι τῆς ἰταλίας ὅσοι μετέθεντο πρὸς ἐκεῖνον, συνέγνω τῶν γεγονότων, καὶ ἀμνηστίαν ἐψηφίσατο· βρυτίων δὲ μόνων, οἳ μέχρι τέλους αὐτῷ προθυμότατοι ἐγεγένηντο, χώραν τε πολλὴν ἀφείλετο, καὶ ὅπλα, εἴ τινα ἦν ἔτι χωρὶς ὧν Ἀννίβας ἀφῄρητο· ἔς τε τὸ μέλλον ἀπεῖπεν αὐτοῖς μὴ στρατεύεσθαι, ὡς οὐδ' ἐλευθέροις οὖσιν. ὑπηρέτας δὲ τοῖς τε ὑπάτοις καὶ στρατηγοῖς τοῖς ἐς τὰς τῶν ἐθνῶν ἡγεμονίας ἀπιοῦσιν, ἐς τὰς δημοσίας ὑπηρεσίας, οἷα θεράποντας, ἀκολουθεῖν. τοῦτο τὸ τέλος ἦν Ἀννίβου τῆς ἐς τὴν ἰταλίαν γενομένης ἐσβολῆς, καὶ ἔτη τῷ καρχηδονίων τῷδε πολέμῳ δύο καὶ πεντήκοντα ἦν.

Τέλος τῆς Ἀππιανοῦ Ἀννιβαϊκῆς.

Ἀππιανοῦ ῥωμαϊκῶν ἰβηρική.

ΟΡΟΣ ἐστὶ πυρήνη διῆκον ἀπὸ τῆς τυρρηνικῆς θαλάσσης ἐπὶ τὸν βόρειον ὠκεανόν· οἰκοῦσι δ' αὐτοῦ πρὸς μὲν ἕω κελτοὶ ὅσοι γαλάται τε καὶ γάλλοι νῦν προσαγορεύονται· πρὸς δὲ δύσιν, ἴβηρές τε καὶ κελτίβηρες, ἀρχόμενοι μὲν ἀπὸ τοῦ τυρρηνικοῦ πελάγους, περιιόντες δ' ἐν κύκλῳ διὰ τῶν ἡρακλείων στηλῶν ἐπὶ τὸν βόρειον ὠκεανόν. οὕτως ἐστὶν ἡ ἰβηρία περίκλυστος, ὅτι μὴ τῇ πυρήνῃ μόνῃ, μεγίστῳ τῶν εὐρωπαίων ὀρῶν καὶ ἰθυτάτῳ σχεδὸν ἁπάντων· τοῦ δὲ περίπλου τοῦδε τὸ μὲν τυρρηνικὸν πέλαγος διαπλέουσιν ἐπὶ τὰς στήλας τὰς ἡρακλείους, τὸν δ' ἑσπέριον καὶ τὸν βόρειον ὠκεανὸν οὐ περῶσιν, ὅτι μὴ πορθμεύεσθαι μόνον ἐπὶ βρεττανούς, καὶ τοῦτο, ταῖς ἀμπώτεσι τοῦ πελάγους συμφερόμενοι· ἔστι δ' αὐτοῖς ὁ διάπλους ἥμισυ ἡμέρας. καὶ τὰ λοιπὰ οὔτε ῥωμαῖοι οὔτε τὰ ἔθνη τὰ ὑπὸ ῥωμαίοις περῶσι τοῦδε τοῦ ὠκεανοῦ. μέγεθος δὲ τῆς ἰβηρίας (τῆς ἱσπανίας νῦν ὑπὸ τινῶν ἀντὶ ἰβηρίας λεγομένης) ἐστὶ πολὺ καὶ ἄπιστον, ὡς ἐν χώρᾳ μιᾷ, ὅπου τὸ πλάτος μυρίους σταδίους ἀριθμοῦσι, καὶ ἔστιν αὐτῇ τὸ πλάτος ἀντὶ μήκους· ἔθνη τε πολλὰ καὶ πολυώνυμα αὐτὴν οἰκεῖ, καὶ ποταμοὶ πολλοὶ ῥέουσι ναυσίποροι. οἵτινες δ' αὐτὴν οἰκῆσαι πρῶτοι νομίζονται, καὶ οἱ μετ' ἐκείνους κατέσχον, οὐ πάνυ μοι ταῦτα φροντίζειν ἀρέσκει, μόνα τὰ ῥωμαίων συγγράφοντι. πλὴν ὅτι κελτοί μοι δοκοῦσι ποτὲ τὴν πυρήνην ὑπερβάντες, αὐτοῖς συνοικῆσαι· ὅθεν ἄρα καὶ τὸ κελτιβήρων ὄνομα ἐρρύη. δοκοῦσι δέ μοι καὶ φοίνικες ἐς ἰβηρίαν ἐκ πολλοῦ θαμινὰ ἐπ' ἐμπορίᾳ διαπλέοντες, οἰκῆσαι τινὰ τῆς ἰβηρίας· ἕλληνές τε ὁμοίως ἐς ταρτησσὸν καὶ Ἀργανθώνιον ταρτησσοῦ βασιλέα πλέοντες, ἐμμεῖναι καὶ τῶνδέ τινες ἐν ἰβηρίᾳ. ἡ γὰρ Ἀργανθωνίου βασιλεία ἐν ἴβηρσιν ἦν· καὶ ταρτησσός μοι δοκεῖ

ὅτε εἶναι πόλις ἐπὶ θαλάσσης, ἣ νῦν καρπησσὸς ὀνομάζεται. τό, τε τοῦ ἡρακλέους ἱερὸν τὸ ἐν στήλαις φοίνικές μοι δοκοῦσιν ἱδρύσασθαι· καὶ θρησκεύεται νῦν ἔτι φοινικικῶς. ὅ, τε θεὸς αὐτοῖς οὐχ ὁ θηβαῖός ἐστιν, ἀλλ' ὁ τυρίων. ταῦτα μὲν δὴ τοῖς παλαιολογοῦσι μεθείσθω. τὴν δὲ γῆν τήνδε εὐδαίμονα οὖσαν καὶ μεγάλων ἀγαθῶν γέμουσαν, καρχηδόνιοι πρὸ ῥωμαίων ἤρξαντο πολυπραγμονεῖν, καὶ μέρος αὐτῆς τὸ μὲν εἶχον ἤδη, τὸ δ' ἐπόρθουν· μέχρι ῥωμαῖοι σφᾶς ἐκβαλόντες, ἃ μὲν εἶχον οἱ καρχηδόνιοι τῆς ἰβηρίας, ἔσχον αὐτίκα, τὰ δὲ λοιπὰ σὺν χρόνῳ πολλῷ καὶ πόνῳ λαμβανόμενά τε ὑπὸ σφῶν καὶ πολλάκις ἀφιστάμενα, χειρωσάμενοι, διεῖλον ἐς τρία· καὶ στρατηγοὺς ἐς αὐτὰ πέμπουσι τρεῖς. ὅπως δὲ εἷλον ἕκαστα, καὶ ὅπως καρχηδονίοις τε περὶ αὐτῶν καὶ μετὰ καρχηδονίους ἴβηρσι καὶ κελτίβηρσιν ἐπολέμησαν, δηλώσει τόδε τὸ βιβλίον, μοῖραν μὲν ἐς καρχηδονίους τὴν πρώτην ἔχον· ὅτι δὲ καὶ αὕτη περὶ ἰβηρίας ἦν, ἀνάγκη μοι συνενεγκεῖν ἐς τὴν ἰβηρικὴν συγγραφὴν ἐγένετο. ᾧ λόγῳ καὶ τὰ περὶ σικελίαν ῥωμαίοις καὶ καρχηδονίοις ἐς ἀλλήλους γενόμενα, ἀρξάμενα ῥωμαίοις τῆς ἐς σικελίαν παρόδου τε καὶ ἀρχῆς, ἐς τὴν σικελικὴν συνενήνεκται γραφήν. πρὸς γὰρ δὴ καρχηδονίους ῥωμαίοις πρῶτος ἐγένετο πόλεμος ἔκδημος περὶ σικελίας ἐν αὐτῇ σικελίᾳ, καὶ δεύτερος ὅδε περὶ ἰβηρίας, ἐν ἰβηρίᾳ· ἐν ᾧ καὶ ἐς τὴν ἀλλήλων μεγάλοις στρατοῖς διαπλέοντες, οἱ μὲν τὴν ἰταλίαν, οἱ δὲ τὴν λιβύην ἐπόρθουν. ἤρξαντο δὲ αὐτοῦ μεθ' ἑκατὸν καὶ τεσσαράκοντα ὀλυμπιάδας μάλιστα, ὅτε τὰς σπονδὰς ἔλυσαν αἱ ἐπὶ τῷ σικελικῷ πολέμῳ σφίσιν ἦσαν γενόμεναι. ἔλυσαν δὲ ἐκ τοιᾶσδε προφάσεως. Ἀμίλχαρ ὁ Βάρκας ἐπίκλησιν, ὅτε περ ἐν σικελίᾳ καρχηδονίων ἐστρατήγει, κελτοῖς τότε μισθοφοροῦσιν οἱ καὶ λιβύων τοῖς συμμαχοῦσι πολλὰς δωρεὰς ὑπέσχητο δώσειν· ἃς, ἐπειδὴ ἐπανῆλθεν ἐς λιβύην, ἀπαιτούντων ἐκείνων, ὁ λιβυκὸς καρχηδονίοις ἐξῆπτο πόλεμος. ἐν ᾧ πολλὰ μὲν πρὸς

αὐτῷ λιβύων ἔπαθον οἱ καρχηδόνιοι· σφόδρα δὲ ῥωμαίοις ἔδοσαν, ποινὴν ὧν ἐς τοὺς ἐμπόρους αὐτῶν ἡμαρτήκεσαν ἐν ὧδε τῷ λιβυκῷ πολέμῳ. ὑπαγόντων οὖν ἐπὶ τοῖσδε τὸν Βάρκαν τῶν ἐχθρῶν ἐς κρίσιν, ὡς αἴτιον τῇ πατρίδι τοσῶνδε συμφορῶν γενόμενον, θεραπεύσας ὁ Βάρκας τοὺς πολιτευομένους (ὧν ἦν δημοκοπικώτατος Ἀσδρούβας ὁ τὴν αὐτοῦ Βάρκα θυγατέρα ἔχων) τάς τε δίκας διεκρούετο, καὶ νομάδων τινὸς κινήματος γενομένου, στρατηγὸς ἔπραξεν ἐπ' αὐτοῖς αἱρεθῆναι μετ' Ἄννωνος τοῦ μεγάλου λεγομένου, ἔτι τὰς εὐθύνας τῆς προτέρας στρατηγίας ὀφείλων. παυομένου δὲ τοῦ πολέμου, καὶ Ἄννωνος ἐπὶ διαβολαῖς ἐς καρχηδόνα μεταπέμπτου γενομένου, μόνος ὢν ἐπὶ τῷ στρατῷ καὶ τὸν κηδεστὴν Ἀσδρούβαν ἔχων οἱ συνόντα, διῆλθεν ἐπὶ γάδειρα, καὶ τὸν πορθμὸν ἐς ἰβηρίαν περάσας, ἐλεηλάτει τὰ ἰβήρων, οὐδὲν ἀδικούντων· ἀφορμὴν αὑτῷ ποιούμενος ἀποδημίας τε καὶ ἔργων καὶ δημοκοπίας. ὅσα γὰρ λάβοι, διῄρει· καὶ τὰ μὲν ἐς τὸν στρατὸν ἀνάλισκεν, ἵνα προθυμότερον αὐτῷ συναδικοίη· τὰ δ' ἐς αὐτὴν ἔπεμπε καρχηδόνα, τὰ δὲ τοῖς ὑπὲρ αὐτοῦ πολιτευομένοις διεδίδου. μέχρι ἰβήρων αὐτὸν οἵ τε βασιλεῖς συστάντες οἱ κατὰ μέρος, καὶ ὅσοι ἄλλοι δυνατοὶ, κτείνουσιν ὧδε. ξύλων ἁμάξας ἄγοντες ἐς βοῦς ὑπέζευξαν· εἵποντο ταῖς ἁμάξαις ὡπλισμένοι. τοῖς δὲ λίβυσιν ἰδοῦσι τὴν εὐθὺς μὲν ἐνέπιπτε γέλως· οὐ συνιεῖσι γὰρ τοῦ στρατηγήματος· ὡς δ' ἐν χερσὶν ἐγένοιτο, οἱ μὲν ἴβηρες αὐταῖς βουσὶν ἐξῆψαν τὰς ἁμάξας, καὶ ἐξώτρυναν ἐς τοὺς πολεμίους· τὸ δὲ πῦρ, σκιδναμένων τῶν βοῶν πάντῃ φερόμενον, ἐτάρασσε τοὺς λίβυας. καὶ τῆς τάξεως διαλυθείσης, οἱ μὲν ἴβηρες αὐτοῖς ἐπιδραμόντες, αὐτόν τε τὸν Βάρκαν καὶ πολὺ πλῆθος ἀμυνομένων ἐπ' αὐτῷ διέφθειραν· οἱ δὲ καρχηδόνιοι τοῖς κέρδεσιν ἤδη τοῖς ἐξ ἰβηρίας ἀρεσκόμενοι, στρατιὰν ἄλλην ἔπεμπον ἐς ἰβηρίαν· καὶ στρατηγὸν ἁπάντων ἀπέφηναν Ἀσδρούβαν τὸν τοῦ Βάρκα κηδεστὴν, ὄντα ἐν ἰβηρίᾳ. ὁ δὲ Ἀννίβαν τὸν οὐ πολὺ ὕστερον ἀοίδιμον

ἐπὶ στρατηγίας, παῖδά τε ὄντα τοῦ Βάρκα, καὶ τῆς γυναικὸς οἱ γιγνόμενον ἀδελφὸν ἔχων ἐν ἰβηρίᾳ, νέον τε καὶ φιλοπόλεμον καὶ ἀρέσκοντα τῷ στρατῷ, ὑποστράτηγον ἀπέφηνε· καὶ τῆς ἰβηρίας τὰ πολλὰ πειθοῖ προσήγετο, πιθανὸς ὢν ὁμιλῆσαι, ἔς τε τὰ βίας δεόμενα, τῷ μειρακίῳ χρώμενος, προῆλθεν ἀπὸ τῆς ἑσπερίου θαλάσσης ἐς τὸ μεσόγαιον ἐπ' ἴβηρα ποταμόν· ὃς μέσην που μάλιστα τέμνων τὴν ἰβηρίαν, καὶ τῆς πυρήνης ἀφεστὼς ὁδὸν ἡμερῶν πέντε, ἐξίησιν ἐς τὸν βόρειον ὠκεανόν. ζακανθαῖοι δὲ, ἄποικοι ζακυνθίων, ἐν μέσῳ τῆς τε πυρήνης καὶ τοῦ ποταμοῦ τοῦ ἴβηρος ὄντες, καὶ ὅσοι ἄλλοι ἕλληνες περί τε τὸ καλούμενον ἐμπόριον, καὶ εἴ τι τῆς ἰβηρίας ᾤκουν ἀλλαχοῦ, δείσαντες ὑπὲρ σφῶν, ἐπρέσβευον ἐς ῥώμην· καὶ ἡ σύγκλητος, οὐκ ἐθέλουσα τὰ καρχηδονίων ἐπαίρεσθαι, πρέσβεις ἐς καρχηδόνα ἔπεμπε· καὶ συνέβησαν ἀμφότεροι, ὅρον εἶναι καρχηδονίοις τῆς ἀρχῆς τῆς ἐν ἰβηρίᾳ τὸν ἴβηρα ποταμόν, καὶ μήτε ῥωμαίους τοῖς πέραν τοῦδε τοῦ ποταμοῦ πόλεμον ἐκφέρειν, καρχηδονίων ὑπηκόοις οὖσι· μήτε καρχηδονίους ἐπὶ πολέμῳ τὸν ἴβηρα διαβαίνειν· ζακανθαίους δὲ καὶ τοὺς ἄλλους ἐν ἰβηρίᾳ ἕλληνας, αὐτονόμους καὶ ἐλευθέρους εἶναι. καὶ τάδε ταῖς συνθήκαις ταῖς ῥωμαίων καὶ καρχηδονίων προσεγράφη. Ἀσδρούβαν δὲ ἐπὶ τοῖσδε ἰβηρίαν τὴν ὑπὸ καρχηδονίοις καθιστάμενον ἀνὴρ δοῦλος, οὗ τὸν δεσπότην ὠμῶς διεφθάρκει, λαθὼν ἐν κυνηγεσίοις ἀναιρεῖ. καὶ τόνδε μὲν Ἀννίβας ἐλεγχθέντα, δεινῶς αἰκισάμενος διέφθειρε· ἡ στρατιὰ δὲ τὸν Ἀννίβαν, καίπερ ὄντα κομιδῇ νέον, ἀρέσκοντα δὲ ἰσχυρῶς, στρατηγὸν ἀπέδειξεν αὐτὸν, καὶ ἡ καρχηδονίων βουλὴ συνέθετο. ὅσοι δὲ τοῦ Βάρκα διαπολῖται τὴν Βάρκα τε καὶ Ἀσδρούβα δύναμιν ἐδεδοίκεσαν, ὡς ἔμαθον αὐτοὺς τεθνεῶτας, Ἀννίβα κατεφρόνουν, ὡς νέου· καὶ τοὺς ἐκείνων φίλους τε καὶ στασιώτας ἐδίωκον ἐπὶ τοῖς ἐκείνων ἐγκλήμασιν· ὅ, τε δῆμος ἅμα

τοῖς κατηγοροῦσιν ἐγίγνετο, μνησικακῶν τοῖς διωκομένοις τῆς βαρύτητος ἐπὶ Βάρκα τε καὶ Ἀσδρούβα· καὶ τὰς δωρεὰς ἐκέλευον αὐτοὺς ὅσας μεγάλας Ἀσδρούβας τε καὶ Βάρκας αὐτοῖς ἐπεπόμφεισαν, ἐς τὸ κοινὸν ἐσενεγκεῖν, ὡς ἐκ τῶν πολεμίων πεπορισμένας· οἱ δὲ, ἐπέστελλον τῷ Ἀννίβᾳ, σφίσιν τε ἐπικουρεῖν δεόμενοι, καὶ διδάσκοντες ὅτι καὶ αὐτὸς ἔσοιτο τοῖς πατρῴοις ἐχθροῖς εὐκαταφρόνητος, εἰ τοὺς ἐν τῇ πατρίδι συνεργεῖν αὐτῷ δυναμένους ὑπερίδοι. ὁ δὲ καὶ ταῦτα προεώρα, καὶ τὰς ἐκείνων δίκας, ἀρχὴν ἐφ' ἑαυτὸν οὖσαν ἐπιβουλῆς, οὐδ' ἠξίου τὴν ἔχθραν, ὥσπερ πατὴρ καὶ ὁ κηδεστὴς, ἐσαεὶ διὰ μακροῦ φόβου διαφέρειν, οὐδ' ἐπὶ τῇ καρχηδονίων κουφόνῳ μέχρι παντὸς εἶναι, ῥᾳδίως ἐς ἀχαριστίαν ἐς εὐεργέτας ῥεπομένων. ἐλέγετο δὲ καὶ, παῖς ὢν ἔτι, ὑπὸ τοῦ πατρὸς ὁρκωθῆναι ἐπὶ ἐμπύρων, ἄσπειστος ἐχθρὸς ἔσεσθαι ῥωμαίοις, ὅτε ἐς πολιτείαν παρέλθοι. διὰ δὲ ταῦτα ἐπινόει, μεγάλοις καὶ χρονίοις πράγμασι τὴν πατρίδα περιβαλών, καὶ καταστήσας ἐς ἀσχολίας καὶ φόβους, τὸ ἑαυτοῦ καὶ τὰ τῶν φίλων ἐν ἀδεεῖ θέσθαι. λιβύην μὲν οὖν ἑώρα θοῦσαν ἑώρα καὶ ἰβήρων ὅσα ὑπήκοα ἦν· εἰ δὲ πρὸς ῥωμαίους πόλεμον αὖθις ἀναρριπίσειεν, οὗ μάλιστα ἐπεθύμει, ἐδόκει καρχηδονίους μὲν ἐν φροντίσι καὶ φόβοις ἔσεσθαι μακροῖς, αὐτὸς δὲ, εἴτε κατορθώσειεν, ἐπὶ κλέους ἀθανάτου γενήσεσθαι, τὴν πατρίδα τῆς οἰκουμένης γῆς ἄρχουσαν ἀποφήνας (οὐ γὰρ εἶναι τινὰς ἀντιμάχους αὐτοῖς ἔτι ἐπὶ ῥωμαίοις) εἴτε καὶ πταίσειε, μεγάλην καὶ ὡς τὸ ἐγχείρημα αὐτῷ δόξαν οἴσειν. ἀρχὴν δὲ ὑπολαμβάνων ἔσεσθαι λαμπρὰν, εἰ τὸν ἴβηρα διαβαίη, τορβολήτας, οἳ γείτονες εἰσὶ ζακανθαίων παρεσκεύαζε καταβοᾶν, ὡς τήν τε χώραν αὐτῶν ἐπιτρεχόντων, καὶ πολλὰ σφᾶς ἄλλα ἀδικούντων. οἱ δὲ ἐπείθοντο, καὶ πρέσβεις αὐτῶν ὁ Ἀννίβας ἐς καρχηδόνα ἔπεμπεν, αὐτός τε ἐν ἀπορρήτοις ἔγραφε ῥωμαίους τὴν ὑπὸ καρχηδονίοις ἰβηρίαν ἀναπείθειν ἀπο-

καρχηδονίων ἀφίστασθαι, καὶ ζακανθαίους ῥωμαίοις ταῦτα συμπράσσειν. ὅλως τε τῆς ἀπάτης οὐ μεθίει, πολλὰ τοιαῦτα ἐπιστέλλων, ἕως ἡ βουλὴ προσέταξεν αὐτῷ πράσσειν ἐς ζακανθαίους ὅ,τι δοκιμάσειεν. ὁ δὲ, ἐπεὶ τῆς ἀφορμῆς ἐλάβετο, τορβολήτας αὖθις ἔπραξεν ἐντυχεῖν οἱ κατὰ τῶν ζακανθαίων· καὶ μετεπέμπετο πρέσβεις. οἱ δὲ, ἀφίκοντο μὲν, κελεύοντες δὲ τοῦ Αννίβου λέγειν ἑκατέρους ἐφ' ἑαυτοῦ περὶ ὧν διαφέρονται, ῥωμαίοις ἔφασαν ἐπιτρέψειν τὴν δίκην. ὁ μὲν δὴ ταῦτα εἰπόντας ἀπέπεμπεν ἀπὸ τοῦ στρατοπέδου. καὶ τῆς ἐπιούσης νυκτὸς παντὶ τῷ στρατῷ τὸν ἴβηρα διαβὰς, τὴν χώραν ἐπόρθει, καὶ τῇ πόλει μηχανήματα ἐφίστη· ἑλεῖν δὲ οὐ δυνάμενος, ἀπετάφρευε, καὶ περιετείχιζε, καὶ φρούρια πολλὰ περιθεὶς ἐκ διαστημάτων, ἐπεφοίτα. ζακανθαῖοι δὲ αἰφνιδίῳ καὶ ἀκαταγγέλτῳ κακῷ συμπεσόντες, ἐπρέσβευον ἐς ῥώμην. καὶ ἡ σύγκλητος αὐτοῖς συνέπεμπε πρέσβεις· οἳ πρῶτον μὲν, Αννίβαν ἔμελλον ὑπομνήσειν τῶν συγκειμένων· οὐ πειθομένου δὲ, πλευσεῖσθαι κατ' αὐτοῦ. τούτοις τοῖς πρέσβεσι πλεύσασιν ἐς ἰβηρίαν καὶ ἐς τὸ στρατόπεδον ἀπὸ θαλάσσης ἀναβαίνουσιν, ὁ Αννίβας ἀπηγόρευσε μὴ προσιέναι. καὶ οἱ μὲν ἀπέπλευσαν ἐπὶ καρχηδόνος σὺν τοῖς πρέσβεσιν τοῖς ζακανθαίων, καὶ τῶν συνθηκῶν ἀνεμίμνησκον αὐτούς. καρχηδόνιοι δὲ ᾐτιῶντο τοὺς ζακανθαίους πολλὰ τοὺς ὑπηκόους σφῶν ἀδικεῖν· καὶ ζακανθαίων οἱ πρέσβεις ἐς δίκην αὐτοὺς προυκαλοῦντο ἐπὶ ῥωμαίων κριτῶν. οἱ δ' οὐκ ἔφασαν χρῄζειν δίκης, ἀμύνεσθαι δυνάμενοι. ὧν ἐς ῥώμην ἀπαγγελθέντων, οἱ μὲν ἐκέλευον ἤδη συμμαχεῖν τοῖς ζακανθαίοις· οἱ δ' ἐπεῖχον ἔτι, λέγοντες οὐ συμμάχους αὐτοὺς ἐν ταῖς συνθήκαις σφῶν, ἀλλ' αὐτονόμους καὶ ἐλευθέρους ἀναγεγράφθαι· ἐλευθέρους δ' ἔτι καὶ τοὺς πολιορκουμένους εἶναι. καὶ ἐκράτησεν ἡ γνώμη. ζακανθαῖοι δὲ, ἐπειδὴ τὰ ῥωμαίων ἀπέγνωσαν, καὶ ὁ λιμὸς σφᾶς ἐπίεζε, καὶ Αννίβας περιεκάθητο συνεχῶς (εὐδαίμονα γὰρ καὶ πο-

λύχρυσον ἀκούων εἶναι τὴν πόλιν, οὐκ ἀνίει τῆς πολιορκίας) τὸν μὲν χρυσὸν καὶ ἄργυρον, ὅσος ἦν δημόσιός τε καὶ ἰδιωτικὸς, ἀπὸ κηρύγματος ἐς τὴν ἀγορὰν συνενέγκαντες, καὶ μολύβδῳ καὶ χαλκῷ συνεχώνευσαν, ὡς ἀχρεῖον Ἀννίβᾳ γενέσθαι. αὐτοὶ δὲ ἐν χερσὶν ἡγούμενοι τι παθεῖν μᾶλλον ἢ ὑπὸ τοῦ λιμοῦ, ἐξέδραμον ἔτι νυκτὸς ἐπὶ τὰ φρούρια τὰ τῶν λιβύων, ἀναπαυομένων ἔτι, καὶ οὐδὲν τοιοῦτον ὑπονοούντων. ὅθεν αὐτοὺς ἀνισταμένους τε ἐξ εὐνῆς καὶ σὺν θορύβῳ μόλις ὁπλιζομένους, ἔστι δ' οὓς ἤδη καὶ μαχομένους, διέφθειρον. μακροῦ δὲ τοῦ ἀγῶνος γενομένου, λιβύων μὲν ἀπώλοντο πολλοί, ζακανθαῖοι δὲ πάντες. αἱ δὲ γυναῖκες ἀπὸ τῶν τειχῶν ὁρῶσαι τὸ τέλος τῶν ἀνδρῶν, αἱ μὲν ἐρρίπτουν ἑαυτὰς κατὰ τῶν τεγῶν, αἱ δ' ἀνήρτων, αἱ δὲ καὶ τὰ τέκνα ἀποκατέσφαζον. καὶ τοῦτο τέλος ἦν ζακανθαίοις, πόλει τε μεγάλῃ καὶ δυνατῇ γενομένῃ. Ἀννίβας δὲ ὡς ἔμαθε περὶ τοῦ χρυσοῦ, τοὺς μὲν ὑπολοίπους καὶ ἔτι ἡβῶντας αὐτῶν αἰκιζόμενος διέφθειρεν, ὑπὸ ὀργῆς. τὴν δὲ πόλιν ὁρῶν ἐπιθαλασσόν τε καὶ καρχηδόνος οὐ μακρὰν, καὶ χώρας ἄρχουσαν ἀγαθῆς, ᾤκιζεν αὖθις, καὶ καρχηδονίων ἄποικον ἀπέφαινεν. ἣν νῦν οἶμαι καρχηδόνα καλεῖσθαι τὴν σπαρταγενῆ. ῥωμαῖοι δὲ πρέσβεις ἐς καρχηδόνα ἔπεμπον, οἷς εἴρητο ἐξαιτεῖν παρὰ καρχηδονίων Ἀννίβαν, ὡς ἐς τὰς συνθήκας ἁμαρτόντα, εἰ μὴ κοινὸν ἡγοῦνται τὸ ἔργον. ἢν δὲ μὴ διδῶσιν, εὐθέως αὐτοῖς πόλεμον προαγορεύειν. καὶ οἱ μὲν ἔπραξαν ὧδε, καὶ τὸν πόλεμον αὐτοῖς, οὐκ ἐκδιδοῦσι τὸν Ἀννίβαν, ἐπήγγειλαν. λέγεται δ' οὕτω γενέσθαι. ὁ μὲν πρεσβύτης αὐτοῖς γελώμενος ἔφη, τὸν κόλπον ἐπιδεικνὺς, ἐνταῦθ' ὑμῖν, ὦ καρχηδόνιοι, καὶ τὴν εἰρήνην καὶ τὸν πόλεμον φέρω. ὑμεῖς δ' ὁπότερα αἱρεῖσθε, λάβετε. οἱ δ' ἔφασαν, σὺ μὲν οὖν ἃ βούλει, δίδου. προτείναντος δὲ τὸν πόλεμον, ἐξεβόησαν ὁμοῦ πάντες, δεχόμεθα. καὶ εὐθὺς ἐπέστελλον τῷ Ἀννίβᾳ πᾶσαν ἤδη τὴν ἰβηρίαν ἀδεῶς ἐπιτρέχειν, ὡς τῶν σπονδῶν λελυμένων. ὁ μὲν δὴ τὰ ἔθνη τὰ ἀγχοῦ

πάντα ἐπιὼν, ὑπήγετο ἢ πείθων, ἢ δεδιττόμενος, ἢ καταστρεφόμενος· καὶ στρατιὰν πολλὴν συνέλεγεν, τὴν μὲν χρείαν οὐχ ὑποδεικνύς, ἐς δὲ τὴν ἰταλίαν ἐπινοῶν ἐμβαλεῖν. γαλάταις δὲ διεπρεσβεύετο, καὶ τὰς διόδους τῶν ἀλπίων ὀρῶν κατεσκέπτετο, καὶ διῆλθεν Ἀσδρούβαν τὸν ἀδελφὸν ἐν ἰβηρίᾳ σφίσι καὶ λιβύῃ τὸν πόλεμον ἔσεσθαι· οὐ γὰρ δὴ μὴ λίβυές ποτε ἐς τὴν ἰταλίαν ἐσβάλωσιν, οὐδὲ ὑπενόουν. Τιβέριον μὲν Σεμπρώνιον Λόγγον ἐπὶ νεῶν ἑκατὸν ἑξήκοντα σὺν δύο στρατοῦ τέλεσιν ἐς λιβύην ἐξέπεμπον. καὶ ὅσα Λόγγος τε καὶ οἱ λοιποὶ ῥωμαίων στρατηγοὶ περὶ λιβύην ἔπραξαν, ἐν τῇ καρχηδονιακῇ βίβλῳ συγγέγραπται. Πούπλιον δὲ Κορνήλιον Σκιπίωνα ἔστελλον ἐπὶ ἰβηρίαν, ἐπὶ νεῶν ἑξήκοντα μετὰ πεζῶν μυρίων καὶ ἱππέων ἑπτακοσίων· καὶ πρεσβευτὴν αὐτῷ συνέπεμπον Γναῖον Κορνήλιον Σκιπίωνα τὸν ἀδελφὸν τοῦτον. ὁ μὲν Πούπλιος παρὰ μασσαλιωτῶν ἐμπόρων πυθόμενος Ἀννίβαν διὰ τῶν ἀλπίων ὀρῶν ἐς τὴν ἰταλίαν ὑπερβαίνοντα, δείσας μὴ ἀδοκήτως τοῖς ἰταλιώταις ἐπιπέσοι, παραδοὺς Γναίῳ τῷ ἀδελφῷ τὴν ἐν ἰβηρίᾳ στρατιὰν, διέπλευσεν ἐπὶ πεντήρους ἐς τυῤῥηνίαν. καὶ ὅσα ἔπραξεν ἐν τῇ ἰταλίᾳ οὗτός τε καὶ ὅσοι μετ' αὐτὸν ἄλλοι στρατηγοὶ τοῦδε τοῦ πολέμου ἐγένοντο, ἕως Ἀννίβαν ἑκκαιδεκάτῳ μόλις ἔτει τῆς ἰταλίας ἐξήλασαν, ἡ ἑξῆς βίβλος ὑποδείκνυσιν, ἣ τὰ ἔργα Ἀννίβου τὰ ἐν ἰταλίᾳ πάντα περιλαμβάνει, καὶ παρ' αὐτὸ λέγεται ῥωμαϊκῶν Ἀννιβαϊκή. Γναῖος δὲ οὐδὲν ὅ,τι καὶ εἰπεῖν, ἔπραξεν ἐν τοῖς ἴβηρσι, πρὶν αὐτῷ Πούπλιον τὸν ἀδελφὸν ἐπανελθεῖν. ῥωμαῖοι γὰρ, ληγούσης τῆς ἀρχῆς τῷ Πουπλίῳ, πρὸς μὲν Ἀννίβαν ἐς τὴν ἰταλίαν τοὺς μετὰ τὸν Πούπλιον ὑπάτους ἐξέπεμψαν· αὐτὸν δὲ, ἀνθύπατον ἀποφήναντες, ἐς ἰβηρίαν αὖθις ἔστειλαν. καὶ ἀπὸ τοῦδε οἱ δύο Σκιπίωνες τὸν ἐν ἰβηρίᾳ πόλεμον διέφερον, Ἀσδρούβου σφίσιν ἀντιστρατηγοῦντος. μέχρι καρχηδόνιοι μὲν ὑπὸ Σύφακος τοῦ τῶν νομάδων

δυνάστου πολεμούμενοι, τὸν Ἀσδρούβαν καὶ μέρος τῆς ὑπ' αὐτῷ στρατιᾶς μετεπέμψαντο, τῶν δὲ ὑπολοίπων οἱ Σκιπίωνες ἁδρῶς ἐκράτουν· καὶ πολλαὶ τῶν πόλεων ἐς αὐτοὺς ἑκοῦσαι μετετίθεντο. καὶ γὰρ ἤστην πιθανωτάτω στρατηγῆσαί τε καὶ προσαγαγέσθαι. θέμενοι δὴ οἱ καρχηδόνιοι πρὸς Σύφακα εἰρήνην, αὖθις ἐξέπεμπον εἰς ἰβηρίαν Ἀσδρούβαν μετὰ πλέονος στρατοῦ καὶ ἐλεφάντων τριάκοντα, καὶ σὺν αὐτῷ ἄλλους δύο στρατηγούς, Μάγωνά τε καὶ Ἀσδρούβαν ἕτερον, ὃς Γίσκωνος ἦν υἱός. καὶ χαλεπώτερος ἦν τοῖς Σκιπίωσιν ὁ πόλεμος ἀπὸ τοῦδε· ἐκράτουν δὲ καὶ ὥς· καὶ πολλοὶ μὲν τῶν λιβύων, πολλοὶ δὲ τῶν ἐλεφάντων ἐφθάρησαν· μέχρι χειμῶνος ἐπιλαβόντος, οἱ μὲν λίβυες ἐχείμαζον ἐν τυρδιτανίᾳ· τῶν δὲ Σκιπιώνων ὁ μὲν Γναῖος ἐν ὀρσῶνι, ὁ δὲ Πούπλιος ἐν κασολῶνι· ἔνθα αὐτῷ προσιὼν ὁ Ἀσδρούβας ἐπηγγέλθη. καὶ προελθὼν τῆς πόλεως μετ' ὀλίγων ἐς κατασκοπὴν στρατοπέδου, ἔλαθε πλησιάσας τῷ Ἀσδρούβᾳ. καὶ αὐτὸν ἐκεῖνος καὶ τοὺς σὺν αὐτῷ πάντας ἱππεῦσι περιδραμὼν, ἀπέκτεινεν. ὁ δὲ Γναῖος οὐδέν τι προμαθὼν, ἐς τὸν ἀδελφὸν ἐπὶ σῖτον ἔπεμπε στρατιώτας· οἷς ἕτεροι λιβύων συντυχόντες ἐμάχοντο. καὶ πυθόμενος ὁ Γναῖος ἐξέδραμεν ὡς εἶχεν μετὰ τῶν ἀζώνων ἐπ' αὐτούς. οἱ δὲ τούς τε προτέρους ἀνῃρήκεσαν ἤδη, καὶ τὸν Γναῖον ἐδίωκον· ἕως ἐσέδραμεν ἔς τινα πύργον. καὶ τὸν πύργον ἐνέπρησαν οἱ λίβυες, καὶ ὁ Σκιπίων κατεκαύθη μετὰ τῶν συνόντων. οὕτω μὲν οἱ Σκιπίωνες ἀπέθανον ἄμφω, ἄνδρες ἐς πάντα ἀγαθοὶ γενόμενοι. καὶ αὐτοὺς ἐπεπόθησαν ἴβηρες ὅσοι δι' αὐτοὺς ἐς ῥωμαίους μετέθεντο. πυθόμενοι δὴ οἱ ἐν ἄστει, βαρέως τε ἤνεγκαν, καὶ Μάρκελλον ἐκ σικελίας ἄρτι ἀφιγμένον, καὶ σὺν αὐτῷ Κλαύδιον ἐπὶ νεῶν ἐξέπεμπον ἐς ἰβηρίαν, μετὰ χιλίων ἱππέων καὶ πεζῶν μυρίων καὶ χορηγίας ἱκανῆς. οὐδενὸς δὲ λαμπροῦ παρὰ τῶνδε γιγνομένου, τὰ λιβύων ὑπερηύξατο, καὶ πᾶσαν σχεδὸν ἰβηρίαν εἶχον ἐς βραχὺ, ῥωμαίων ἐν τοῖς ὄρεσι τοῖς πυρηναίοις κατα-

κεκλεισμένων. πάλιν οὖν οἱ ἐν ἄστει πυνθανόμενοι, μᾶλλον ἐταράσσοντο· καὶ φόβος ἦν μὴ Ἀννίβου κρατοῦντος τὰ πρόσω τῆς ἰταλίας, καὶ οἵδε οἱ λίβυες ἐς τὰ ἐπέκεινα αὐτῆς ἐσβάλοιεν. ὅθεν οὐδὲ ἀποστῆναι τῆς ἰβηρίας βουλομένοις αὐτοῖς δυνατὸν ἦν, δέει τοῦ μὴ καὶ τόνδε τὸν πόλεμον ἐς τὴν ἰταλίαν ἐπαγαγέσθαι. προὔγραφον οὖν ἡμέραν ἐν ᾗ χειροτονήσουσι στρατηγὸν εἰς ἰβηρίαν· καὶ οὐδενὸς παραγγέλλοντος, ἔτι πλείων ἐγίγνετο φόβος· καὶ σιωπὴ σκυθρωπὸς ἐπεῖχε τὴν ἐκκλησίαν, ἐς ὃ Κορνήλιος Σκιπίων ὁ Πουπλίου Κορνηλίου τοῦ ἀναιρεθέντος ἐν ἴβηρσιν υἱός, (νέος μὲν ὢν κομιδῇ· τεσσάρων γὰρ καὶ εἴκοσιν ἐτῶν ἦν· σώφρων δὲ καὶ γενναῖος εἶναι νομιζόμενος) ἐς τὸ μέσον ἐλθὼν, ἐσεμνολόγησεν ἀμφί τε τοῦ πατρὸς καὶ ἀμφὶ τοῦ θείου· καὶ τὸ πάθος αὐτῶν ὀδυρόμενος, ἐπεῖπεν οἰκεῖος εἶναι τιμωρὸς ἐκ πάντων πατρὶ καὶ θείῳ καὶ πατρίδι. ἄλλα τε πολλὰ ἀθρόως καὶ λαμπρῶς, ὥσπερ ἔνθους, ἐπαγγειλάμενος, οὐκ ἰβηρίαν λήψεσθαι μόνην ἀλλ' ἐπ' αὐτῇ καὶ λιβύην καὶ καρχηδόνα, τοῖς μὲν ἔδοξε κουφολογῆσαι νεανικῶς, τὸν δὲ δῆμον ἀνέλαβε κατεπτηκότα (χαίρουσι γὰρ ἐπαγγελίαις οἱ δεδιότες) καὶ ἡρέθη στρατηγὸς ἐς ἰβηρίαν, ὡς πράξων τι τῆς εὐτολμίας ἄξιον. οἱ πρεσβύτεροι δὲ αὐτὴν οὐκ εὐτολμίαν ἀλλὰ προπέτειαν ἐκάλουν. καὶ ὁ Σκιπίων αἰσθόμενος, ἐς ἐκκλησίαν αὖθις αὐτοὺς συνεκάλει τε καὶ ἐσεμνύνετο ὅμοια, καὶ τὴν ἡλικίαν εἰπὼν οὐδὲν ἐμποδὼν οἱ γενήσεσθαι, προυκαλεῖτο ὅμως εἴ τις ἐθέλοι τῶν πρεσβυτέρων τὴν ἀρχὴν παραλαβεῖν, ἑκόντος αὐτοῦ παραδιδόντος. οὐδενὸς δ' ἑλομένου, μᾶλλον ἐπαινούμενός τε καὶ θαυμαζόμενος, ἐξῄει μετὰ μυρίων πεζῶν καὶ ἱππέων πεντακοσίων· οὐ γὰρ ἐνεχώρει πλέονα στρατὸν ἐξάγειν, Ἀννίβου δῃοῦντος τὴν ἰταλίαν. ἔλαβε δὲ καὶ χρήματα καὶ παρασκευὴν ἄλλην καὶ ναῦς μακρὰς ὀκτὼ καὶ εἴκοσι, μεθ' ὧν ἐς ἰβηρίαν διέπλευσε. παραλαβὼν δὲ τὴν ἐκεῖ στρατιὰν, καὶ οὓς ἦγεν, ἐς ἓν συναγαγὼν, ἐκάθηρε καὶ διελέχθη καὶ

τοῖσδε μεγαληγόρως· δόξα τε διέδραμεν ἐς ὅλην αὐτίκα τὴν
Ἰβηρίαν, βαρυνομένην τε τοὺς λίβυας καὶ τὴν Σκιπιώνων τὴν
ἀρετὴν ἐπιποθοῦσαν, ὅτι στρατηγὸς αὐτοῖς ἥκοι ὁ Σκιπίων ὁ
Σκιπίωνος, κατὰ θεόν. οὗ δὴ καὶ αὐτὸς αἰσθανόμενος, ὑπεκρί-
νετο πάντα ποιεῖν πειθόμενος θεῷ. πυνθανόμενος δ' ὅτι οἱ ἐ-
χθροὶ σταθμεύουσι μὲν ἐν τέσσαρσι στρατοπέδοις, μακρὰν διεστη-
κότα ἀπ' ἀλλήλων, ἀνὰ δισμυρίους καὶ πεντακισχιλίους πεζοὺς καὶ
ἱππέας πεντακοσίους ἐπὶ δισχιλίοις, τὴν δὲ παρασκευὴν τήν
τε χρημάτων καὶ σίτου καὶ ὅπλων καὶ βελῶν καὶ νεῶν καὶ αἰχμα-
λώτων καὶ ὁμήρων τῶν ἐξ ὅλης ἰβηρίας ἔχουσιν, ἐν τῇ πρό-
τερον μὲν Ζακάνθῃ, τότε δὲ ἤδη καρχηδόνι, καὶ φρουρὸς αὐτῶν
ἐστι Μάγων μετὰ μυρίων καρχηδονίων· ἔκρινε πρῶτον ἐς
τούτους ἐπιδραμεῖν, διά τε τὴν ὀλιγότητα τοῦ στρατοῦ τοῦ με-
τὰ Μάγωνος, καὶ τὸ μέγεθος τῆς παρασκευῆς, καὶ ὡς ὁρμη-
τήριον ἀσφαλὲς ἐκ γῆς καὶ θαλάσσης ἕξων ἐπὶ ὅλην τὴν
ἰβηρίαν, πόλιν ἀργύρεια καὶ χώραν καὶ πλοῦτον εὐδαίμονα
καὶ πολὺν ἔχουσαν, καὶ τὸν διάπλουν ἐς λιβύην βραχύτα-
τον. ὁ μὲν δὴ τοῖσδε λογισμοῖς ἐπαιρόμενος, οὐδενὶ προει-
πὼν ὅποι χωρήσειν ἔμελλεν, ἡλίου δυόντος, ἦγε τὴν στρατιὰν
δι' ὅλης τῆς νυκτὸς ἐπὶ τὴν καρχηδόνα· καὶ αὐτὴν ἅμα ἕῳ
τῶν λιβύων καταπλαγέντων περιταφρεύσας, ἐς τὴν ἐπιοῦσαν
ἡμέραν ἡτοιμάζετο, κλίμακάς τε καὶ μηχανὰς πάντῃ περιτι-
θεὶς, χωρὶς ἑνὸς μέρους, ᾗ τὸ μὲν τεῖχος ἦν βραχύτατον, ἕλος
δ' αὐτὸ καὶ θάλασσα προσέκλυζε, καὶ δι' αὐτὸ καὶ οἱ φύλακες
ἀμελῶς εἶχον. νυκτὸς δὲ πάντα πληρώσας βελῶν καὶ λίθων, καὶ
τοῖς λιμέσι τῆς πόλεως ναῦς ἐπιστήσας, ἵνα μὴ αἱ νῆες αὐτὸν
αἱ τῶν πολεμίων διαφύγοιεν (ὑπὸ γὰρ δὴ μεγαλοψυχίας ἤλ-
πιζε πάντως αἱρήσειν τὴν πόλιν) πρὸ ἕω τὴν στρατιὰν ἀνεβί-
βαζεν ἐπὶ τὰς μηχανάς, τοὺς μὲν ἄνωθεν, ἐγχειρεῖν κελεύων
τοῖς πολεμίοις· τοὺς δὲ κάτω, τὰς μηχανὰς ὠθεῖν ἐς τὸ πρόσω.

Μάγων δὲ τοὺς μὲν μυρίους ἐπέστησε ταῖς πύλαις, ὡς ἐκπηδήσοντας, ὅτε καιρὸς εἴη, μετὰ μόνων ξιφῶν (οὐ γὰρ ἦν δόρασιν ἐν στενῷ χρῆσθαι) τοὺς δὲ ἄλλους ἐς τὰς ἐπάλξεις ἀνῆγε. καὶ πολλὰ καὶ ὅδε μηχανήματα καὶ λίθους καὶ βέλη καὶ καταπέλτας ἐπιστήσας, εἴχετο τοῦ ἔργου προθύμως. γιγνομένης δὲ βοῆς καὶ παρακελεύσεως ἑκατέρωθεν, οὐδέτεροι μὲν ὁρμῆς καὶ προθυμίας ἐνέλειπον, καὶ λίθους τε καὶ βέλη καὶ ἀκόντια ἀφιέντες, οἱ μὲν ἀπὸ χειρῶν, οἱ δὲ ἀπὸ μηχανῶν, οἱ δὲ ἀπὸ σφενδόνης· εἴ τις ἦν ἄλλη παρασκευὴ καὶ δύναμις, ἐχρῶντο προθύμως ἅπασιν. ἐκακοπάθει δὲ τὰ τοῦ Σκιπίωνος· καὶ οἱ μύριοι καρχηδονίων οἱ περὶ τὰς πύλας ἦσαν, ἐκδραμόντες, ξὺν τοῖς ξίφεσι γυμνοῖς ἐνέπιπτον ἐς τοὺς τὰ μηχανήματα ὠθοῦντας. καὶ πολλὰ μὲν ἔδρων, οὐχ ἧσσω δὲ ἀντέπασχον· μέχρι τῷ φιλοπόνῳ καὶ ταλαιπώρῳ τὰ ῥωμαίων ὑπανίστατο· καὶ μεταβολῆς γενομένης, οἵ τε ἐπὶ τῶν τειχῶν ἔκαμνον ἤδη, καὶ αἱ κλίμακες αὐτοῖς προσεπέλαζον. οἱ δὲ ξιφήρεις τῶν καρχηδονίων ἐς τὰς πύλας ἐσέτρεχον, καὶ ἀποκλείσαντες αὐτάς, ἀνεπήδων ἐπὶ τὰ τείχη· καὶ τοῖς ῥωμαίοις αὖθις ἦν ὁ πόνος πολύς τε καὶ χαλεπός. ἐς ὃ Σκιπίων ὁ στρατηγὸς πάντῃ περιθέων τε καὶ βοῶν καὶ παρακαλῶν, εἶδε περὶ μεσημβρίαν ᾗ τὸ βραχὺ τεῖχος ἦν, ὃ τὸ ἕλος προσέκλυζε, τὴν θάλασσαν ὑποχωροῦσαν· ἄμπωτις γὰρ ἐφήμερος ἐστί· καὶ ὁ κλύδων ἐπήει μὲν ἐς μαστούς, ὑπεχώρει δὲ ἐς μέσας κνήμας. ὅπερ ὁ Σκιπίων ἐπιδών, καὶ περὶ τῆς φύσεως αὐτοῦ πυθόμενος, ὡς ἔχοι τὸ λοιπὸν τῆς ἡμέρας, πρὶν ἐπανελθεῖν τὸ πέλαγος, ἔθει πάντων βοῶν, νῦν ὁ καιρός, ὦ ἄνδρες, νῦν ὁ σύμμαχός μοι θεὸς ἀφῖκται· πρόσιτε τῷ μέρει τῷδε τοῦ τείχους, ἡ θάλασσα ἡμῖν ὑποκεχώρηκε· φέρετε τὰς κλίμακας, ἐγὼ δὲ ἡγήσομαι. καὶ πρῶτος ἁρπάσας τινὰ τῶν κλιμάκων μετέφερέ τε δὲ ἀνέβαινεν, οὔπω τινὸς ἀναβαίνοντος ἄλλου· μέχρι περισχόντες αὐτὸν οἵ τε ὑπασπισταὶ καὶ ἡ ἄλλη στρατιά, τὸν δὲ μὲν ἐπέσχον, αὐτοὶ

δὲ πολλὰς ὁμοῦ κλίμακας προσετίθεσάν τε καὶ ἀνεπήδων· βοῆς δὲ καὶ ὁρμῆς ἑκατέρωθεν γιγνομένης, καὶ ποικίλων ἔργων καὶ παθῶν, ἐκράτησαν ὅμως οἱ ῥωμαῖοι, καὶ πύργων τινῶν ἐπέβησαν ὀλίγων· οἷς ὁ Σκιπίων σαλπικτὰς καὶ βυκανιστὰς ἐπιστήσας, ἐξοτρύνειν ἐκέλευσε καὶ θορυβεῖν, ὡς τῆς πόλεως εἰλημμένης ἤδη. ἕτεροί τε περιθέοντες ὁμοίως διετάρασσον· καὶ καθαλλόμενοί τινες ἀνέῳξαν τῷ Σκιπίωνι τὰς πύλας. ὁ δὴ εἰσεπήδησε μετὰ τῆς στρατιᾶς δρόμῳ· καὶ τῶν ἔνδον οἱ μὲν ἐς τὰς οἰκίας ἀπεδίδρασκον· ὁ δὲ Μάγων τοὺς μυρίους ἐς τὴν ἀγορὰν συνεκάλει. ταχὺ δὲ καὶ τούτων κατακοπέντων, ἐς τὴν ἄκραν σὺν ὀλίγοις ἀνεχώρει. τοῦ δὲ Σκιπίωνος καὶ ἐπὶ τὴν ἄκραν εὐθὺς ἐπιόντος, οὐδὲν ἔτι δρᾶν σὺν ἡττημένοις τε καὶ καταπεπληγόσιν ἔχων, ἐνεχείρισεν ἑαυτὸν τῷ Σκιπίωνι· ὁ δὲ τόλμῃ καὶ τύχῃ πόλιν εὐδαίμονα καὶ δυνατὴν ἑλὼν ἡμέρᾳ μιᾷ, τετάρτῃ τῆς ἐπ' αὐτὴν ἀφίξεως, ἐπῆρτο μεγάλως, καὶ μᾶλλον ἐδόκει κατὰ θεὸν ἕκαστα δρᾶν· αὐτός τε οὕτως ἐφρόνει καὶ οὕτως ἐλογοποίει καὶ τότε καὶ ἐς τὸν ἔπειτα βίον, ἀρξάμενος ἐξ ἐκείνου· πολλάκις γοῦν ἐς τὸ καπιτώλιον ἐσῄει μόνος, καὶ τὰς θύρας ἐπέκλειεν, ὥσπερ τι παρὰ τοῦ θεοῦ μανθάνων. καὶ νῦν ἔτι τὴν εἰκόνα τὴν Σκιπίωνος ἐν ταῖς πομπαῖς μόνου προφέρουσιν ἐκ τοῦ καπιτωλίου, τῶν δ' ἄλλων ἐξ ἀγορᾶς φέρονται. τότε δ' εἰρηνικὸν ὁμοῦ καὶ πολεμικὸν ταμιεῖον παραλαβὼν, ὅπλα τε πολλὰ ἐν αὐτῷ καὶ βέλη καὶ μηχανήματα καὶ νεωσοίκους καὶ ναῦς μακρὰς τρεῖς καὶ τριάκοντα, καὶ σῖτον καὶ ἀγορὰν ποικίλην, καὶ ἐλέφαντα καὶ χρυσὸν καὶ ἄργυρον, τὸν μὲν, ἐν σκεύεσι πεποιημένον, τὸν δὲ, ἐπίσημον, τὸν δὲ, ἄσημον· ὅμηρά τε ἰβήρων καὶ αἰχμάλωτα καὶ ὅσα ῥωμαίων αὐτῶν προείληπτο· ἔθυε τῆς ἐπιούσης, καὶ ἐθριάμβευε, καὶ τὴν στρατιὰν ἐπῄνει, καὶ τῇ πόλει μετὰ τὴν στρατιὰν ἐδημηγόρει· τῶν τε

Σκιπιώνων αὐτοὺς ἀναμνήσας, ἀπέλυε τοὺς αἰχμαλώτους εἰς τὰ ἴδια, θεραπεύων τὰς πόλεις. ἀριστεῖ δ' ἐδίδου, τῷ μὲν ἐς τὸ τεῖχος ἀναβάντι πρώτῳ, μέγιστα· τῷ δ' ἑξῆς, τὰ ἡμίσεα τούτων· τῷ δὲ τρίτῳ, τὰ τρίτα· καὶ τοῖς ἄλλοις κατὰ λόγον. τὰ δὲ λοιπὰ ἐς ῥώμην ἔπεμψεν ἐπὶ τῶν εἰλημμένων νεῶν, ὅσα χρυσὸς ἢ ἄργυρος ἦν ἢ ἐλέφας. ἡ μὲν δὴ πόλις ἔθυεν ἐπὶ τρεῖς ἡμέρας, ὡς τῆς πατρῴας ἀπραξίας ἐκ πόνων πολλῶν αὖθις ἀνακυπτούσης· ἡ δὲ ἰβηρία καὶ οἱ ἐν αὐτῇ φοίνικες κατεπεπλήγεσαν τῷ μεγέθει καὶ τάχει τοῦ τολμήματος. ὁ δὲ φρουρὰν μὲν καρχηδόνι ἐπέστησε, καὶ τὸ τεῖχος ἐκέλευσε τὸ παρὰ τὴν ἄμπωτιν, ἐς ὕψος ἐγεῖραι· τὴν δ' ἄλλην ἰβηρίαν, αὐτός τε ἐπιὼν, καὶ τοὺς φίλους ἐς ἕκαστα περιπέμπων, ὑπήγετο, καὶ τὰ ἄλλα τὰ ἀντέχοντα ἐβιάζετο. καρχηδονίων δ' οἱ στρατηγοὶ δύο ὄντε λοιπὼ καὶ δύο Ἀσδρούβα, ὁ μὲν τοῦ Ἀμίλχαρος, πορρωτάτω παρὰ κελτίβηρσιν ἐξενολόγει· ὁ δὲ τοῦ Γίσκωνος, ἐς μὲν τὰς πόλεις τὰς ἔτι βεβαίους περιέπεμπεν, ἀξιῶν καρχηδονίοις ἐμμένειν, ὡς στρατιᾶς ἐλευσομένης αὐτίκα ἀπείρου τὸ πλῆθος· Μάγωνα δ' ἕτερον ἐς τὰ πλησίον περιέπεμπε ξενολογεῖν ὁπόθεν δυνηθείη· καὶ αὐτὸς ἐς τὴν λέρσα γῆν τῶν ἀφισταμένων ἐνέβαλεν· καί τινα αὐτῶν πόλιν ἔμελλε πολιορκήσειν· ἐπιφανέντος δὲ αὐτῷ τοῦ Σκιπίωνος, ἐς βαιτύκην ὑπεχώρει, καὶ πρὸ τῆς πόλεως ἐστρατοπέδευσεν· ἔνθα τῆς ἐπιούσης εὐθὺς ἡσσᾶτο, καὶ τὸν χάρακα αὐτοῦ καὶ τὴν βαιτύκην ἔλαβεν ὁ Σκιπίων. ὁ δὲ τὴν στρατιὰν τὴν καρχηδονίων τὴν ἔτ' οὖσαν ἐν ἰβηρίᾳ συνέλεγεν ἐς καρεώνην πόλιν, ὡς ὁμοῦ πᾶσιν ἀμυνούμενος τὸν Σκιπίωνα. καὶ αὐτῷ συνῆλθον πολλοὶ μὲν ἰβήρων, οὓς Μάγων ἦγεν, πολλοὶ δὲ νομάδων, ὧν ἦρχε Μασανάσης. καὶ τούτων ὁ μὲν Ἀσδρούβας μετὰ τῶν πεζῶν ὑπὸ χάρακι ἐστρατοπέδευεν· ὁ δὲ Μασανάσσης καὶ ὁ Μάγων ἱππαρχοῦντες αὐτῷ προσηυλίζοντο τοῦ

στρατοπέδου. ὧδε ἔχουσιν αὐτοῖς ὁ Σκιπίων τοὺς ἰδίους ἱππέας ἐπιδιῄρει, καὶ Λαίλιον μὲν ἐπὶ Μάγωνα ἔπεμπεν, αὐτὸς δ' ἐπὶ Μασανάσσην ἐτράπετο. μέχρι μὲν οὖν τινος ἦν ἐν ἀγῶνι καὶ πόνῳ δυσχερεῖ, τῶν νομάδων αὐτὸν ἀκοντιζόντων τε καὶ ὑποχωρούντων, εἶτ' αὖθις ἐπελαυνόντων. ὡς δὲ παρήγγειλεν ὁ Σκιπίων ἀμεταστρεπτεὶ διώκειν αὐτοὺς, τὰ δόρατα προβαλόντας, οὐκ ἔχοντες ἀναστροφὴν οἱ νομάδες, κατέφυγον ἐς τὸ στρατόπεδον· καὶ ὁ Σκιπίων ἀποσχὼν δέκα σταδίους, ἐστρατοπέδευσεν ἀσφαλῶς ἧπερ ἐβούλετο. ἦν δὲ ἡ μὲν τῶν ἐχθρῶν σύμπασα δύναμις ἑπτακισμύριοι πεζοί, καὶ ἱππεῖς πεντακισχίλιοι, καὶ ἐλέφαντες ἓξ καὶ τριάκοντα· Σκιπίωνι δὲ τούτων οὐδὲ τριτημόριος ἦν. διὸ καὶ μέχρι τινὸς ἐνεδοίαζε, καὶ μάχης οὐ κατῆρχεν, ἀλλ' ἀκροβολισμοῖς ἐχρῆτο μόνοις· ἐπεὶ δ' ἐπέλιπεν αὐτὸν ἡ ἀγορὰ, καὶ λιμὸς ἥπτετο τοῦ στρατοῦ, ἀναζεῦξαι μὲν οὐκ εὐπρεπὲς ἡγεῖτο εἶναι Σκιπίων· θυσάμενος δὲ, καὶ εὐθὺς ἐπὶ ταῖς θυσίαις τὴν στρατιὰν ἐς ἐπήκοον ἐλάσας, καὶ τὸ βλέμμα καὶ τὸ σχῆμα διαθεὶς πάλιν ὥσπερ ἔνθους, ἔφη τὸ δαιμόνιον ἥκειν τὸ συνήθες αὐτῷ καὶ καλεῖν ἐπὶ τοὺς πολεμίους. χρῆναι δὲ θαρρεῖν θεῷ μᾶλλον ἢ πλήθει στρατοῦ. καὶ γὰρ τῶν πρότερον ἔργων κατὰ θεὸν οὐ κατὰ πλῆθος κρατῆσαι. ἔς τε πίστιν τῶν λεγομένων, τὰ ἱερὰ παραφέρειν ἐς τὸ μέσον ἐκέλευε τοὺς μάντεις. καὶ λέγων ὁρᾷ τινας οἰωνοὺς πετομένους· οἷς μετ' ὁρμῆς καὶ βοῆς αὐτόθεν ἐπιστραφεὶς, ἐδείκνυέ τε καὶ ἔλεγεν ὅτι σύμβολα νίκης οἱ θεοὶ καὶ τάδε ἔπεμψαν. συνεκινεῖτο δὲ πρὸς αὐτὰ ἐνθέως ὁρῶν καὶ βοῶν, καὶ ἡ στρατιὰ πᾶσα ἐς τὰς ἐκείνου φαντασίας, περιφερομένου δεῦρο κἀκεῖσε, συνεπιστρέφετο, καὶ πάντες ὡς ἐπὶ νίκην ἕτοιμον ἠρεθίζοντο. ὁ δ' ἐπεὶ πᾶν εἶχεν ὅσον τι καὶ ἐβούλετο, οὐκ ἀνέθετο, οὐδ' εἴασε τὴν ὁρμὴν ἐκλυθῆναι, ἀλλ' ὡς ἔτ' ὢν θεόληπτος, ἔφη δεῖν ἐπὶ τοῖσδε τοῖς σημείοις

ἀθρόους ἀγωνίσασθαι. καὶ φαγόντας ἐκέλευεν ὁπλίσασθαι, καὶ ἐπῆγεν ἀδοκήτως τοῖς πολεμίοις, τοὺς μὲν ἱππέας Σιλανῷ, τοὺς δὲ πεζοὺς Λαιλίῳ καὶ Μαρκίῳ παραδούς. Ἀσδρούβας δὲ καὶ Μάγων καὶ Μασσανάσσης, ἐπιόντος αὐτοῖς τοῦ Σκιπίωνος ἄφνω, σταδίων ὄντων ἐν μέσῳ δέκα μόνων, ἀσπουδοῦσαν ἐπὶ τῆς στρατιᾶς ὥπλιζον μετὰ σπουδῆς καὶ θορύβου καὶ βοῆς. γιγνομένης δὲ ὁμοῦ πεζομαχίας τε καὶ ἱππομαχίας, οἱ μὲν ἱππεῖς οἱ τῶν ῥωμαίων ἐκράτουν, ὑπὸ τῆς αὐτῆς μηχανῆς ἀμεταστρεπτεὶ τοὺς νομάδας διώκοντες, ὑποχωρεῖν εἰθισμένους καὶ ἀπελαύνειν οἷς τὰ ἀκόντια, διὰ τὴν ἐγγύτητα, οὐδὲν ἦν ἔτι χρήσιμα. οἱ πεζοὶ δὲ ἐπονοῦντο ὑπὸ τοῦ πλήθους τῶν λιβύων, καὶ ἡττῶντο δι' ὅλης ἡμέρας. οὐδὲ τοῦ Σκιπίωνος αὐτοὺς ἐπιθέοντός τε καὶ παρακαλοῦντος, μετετίθεντο· μέχρι τὸν ἵππον Σκιπίων τῷ παιδὶ παραδούς, καὶ παρά τινος ἀσπίδα λαβών, ἐξέδραμεν ὡς εἶχε μόνος ἐς τὸ μεταίχμιον, κεκραγώς, ἐπικουρεῖτε ὦ ῥωμαῖοι κινδυνεύοντι ὑμῶν τῷ Σκιπίωνι. τότε γάρ, οἱ μὲν ἐγγύς, ὁρῶντες οἷ κινδύνου φέρεται, οἱ δὲ πόρρω, πυθόμενοι, καὶ πάντες ὁμοίως αἰδούμενοί τε καὶ περὶ τῷ στρατηγῷ δεδιότες, ἐπέδραμον ἐς τοὺς πολεμίους μετ' ἀλαλαγμοῦ καὶ βίας. ἣν οὐκ ἐνεγκόντες οἱ λίβυες, ἐνέδωκαν, ἐπιλειπούσης αὐτοὺς ἅμα τῆς δυνάμεως ὑπὸ τῆς ἀσιτίας περὶ ἑσπέραν· καὶ πολὺς αὐτῶν δι' ὀλίγου τότε φόνος ἐγίγνετο. τοῦτο μὲν δὴ τέλος ἦν Σκιπίωνι τῆς περὶ καρβώνην μάχης, ἐπισφαλοῦς ἐς πολὺ γιγνομένης. ἀπέθανον δὲ ἐν αὐτῇ, ῥωμαίων μὲν ὀκτακόσιοι, τῶν δὲ πολεμίων μύριοι καὶ πεντακισχίλιοι. μετὰ δὲ τοῦτο οἱ μὲν λίβυες ὑπεχώρουν ἀεὶ μετὰ σπουδῆς· ὁ δὲ Σκιπίων αὐτοῖς εἵπετο, βλάπτων τι καὶ λυπῶν ὁσάκις καταλάβοι. ὡς δὲ οἱ μὲν ὀχυρόν τι χωρίον προὔλαβον, ἔνθα καὶ ὕδωρ ἦν ἄφθονον καὶ ἀγορά, καὶ οὐδὲν ἄλλο ἢ πολιορκεῖν αὐτοὺς ἔδει, Σκιπίωνα δὲ ἤπειγον ἕτεραι χρεῖαι, Σι-

λανὸν μὲν ἀπέλιπε τοῖσδε πολιορκεῖν, αὐτὸς δ' ἐπῄει τὴν ἄλλην ἰβηρίαν, καὶ ὑπήγετο. λιβύων δὲ τῶν ὑπὸ Σιλανοῦ πολιορκουμένων, αὖθις ὑποχωρούντων, ἕως ἐπὶ τὸν πορθμὸν ἀφικόμενοι, ἐς γάδειρα ἐπέρασαν. ὁ Σιλανὸς ὅσα δυνατὸν ἦν βλάψας, ἀνεζεύγνυεν ἐς καρχηδόνα πρὸς Σκιπίωνα. Ἀσδρούβαν δὲ τὸν Ἀμίλχαρος περὶ τὸν βόρειον ὠκεανὸν στρατιὰν ἔτι συλλέγοντα, ὁ ἀδελφὸς Ἀννίβας ἐκάλει κατὰ σπουδὴν ἐς τὴν ἰταλίαν ἐσβαλεῖν. ὁ δὲ, ἵνα λάθοι τὸν Σκιπίωνα, παρὰ τὸν βόρειον ὠκεανὸν, τὴν πυρήνην ἐς γαλάτας ὑπερέβαινεν, μεθ' ὧν ἐξενολογήκει κελτιβήρων. καὶ ὁ μὲν Ἀσδρούβας ὧδε ἐς τὴν ἰταλίαν, τῶν ἰταλῶν ἀγνοούντων, ἠπείγετο. Λεύκιος δ' ἀπὸ ῥώμης ἐπανιὼν, ἔφραζε τῷ Σκιπίωνι, ὅτι αὐτὸν οἱ ἐν ἄστει ῥωμαῖοι διανοοῦνται στρατηγὸν ἐς λιβύην ἀποστέλλειν. ὁ δὲ τοῦδε αὐτοῦ μάλιστα ἐπιθυμῶν ἐκ πολλοῦ, καὶ ἐλπίζων ὧδε ἔσεσθαι, Λαίλιον ἐπὶ νεῶν πέντε προὔπεμπεν ἐς λιβύην, πρὸς τὸν δυνάστην Σύφακα, δωρεάς τε φέροντα, καὶ τῶν Σκιπιώνων ὑπομνήσοντα τῆς ἐς αὐτὸν Σύφακα φιλίας, καὶ δεήσοντα ῥωμαίοις, εἰ ἐπίασι, συλλαμβάνειν. ὁ δὲ ὑπέσχετό τε ποιήσειν, καὶ τὰ δῶρα ἔλαβεν καὶ ἀντέπεμψεν ἕτερα. αἰσθανόμενοι δὲ τούτων οἱ καρχηδόνιοι, καὶ αὐτοὶ περὶ συμμαχίας ἐπρεσβεύοντο παρὰ τὸν Σύφακα. καὶ ὁ Σκιπίων πυθανόμενός τε καὶ μεταποιούμενος ἐπὶ καρχηδονίοις προσλαβεῖν καὶ βεβαιώσασθαι Σύφακα, ᾔει πρὸς αὐτὸν ἐπὶ νεῶν δύο σὺν τῷ Λαιλίῳ. καὶ αὐτῷ καταγομένῳ, οἱ πρέσβεις τῶν καρχηδονίων ἔτι ὄντες παρὰ τῷ Σύφακι, ναυσὶν ἃς εἶχον μακραῖς ἐπανήγοντο, λαθόντες τὸν Σύφακα. ἀλλ' ὁ μὲν, ἰσίῳ χρώμενος, παρέπλευσεν αὐτοὺς ἀδεῶς καὶ κατήχθη. ὁ δὲ Σύφαξ ἐξένιζεν ἀμφοτέρους, καὶ τῷ Σκιπίωνι συνθέμενος ἰδίᾳ καὶ πίστεις παρασχὼν ἀπέπεμπε. καὶ τοὺς καρχηδονίους ἐφεδρεύοντας αὖθις αὐτῷ κατεῖχεν, ἕως ἐν βεβαίῳ τῆς θαλάσσης

γένοιτο ὁ Σκιπίων. παρὰ μὲν δὴ τοσοῦτον ἦλθε κινδύνου Σκιπίων, καταγόμενός τε καὶ πλέων. λέγεται δ' ἐν Σύφακος ἑστιώμενος συγκατακλιθῆναι τῷ Ἀσδρούβᾳ· καὶ αὐτὸν ὁ Ἀσδρούβας περὶ πολλῶν ἐρόμενος, καταπλαγῆναι τῆς σεμνότητος, καὶ πρὸς τοὺς φίλους εἰπεῖν, ὅτι μὴ μόνον πολεμῶν ἐστὶν ὁ ἀνὴρ, ἀλλὰ καὶ ἑστιώμενος, φοβερὸς εἴη. τῷ δ' αὐτῷ χρόνῳ Μάγωνι τινὲς κελτιβήρων καὶ ἰβήρων ἔτι ἐμισθοφόρουν, ὧν αἱ πόλεις ἐς ῥωμαίους μετετέθειντο· καὶ ὁ Μάρκιος αὐτοῖς ἐπιθέμενος, χιλίους μὲν καὶ πεντακοσίους διέφθειρεν· οἱ δὲ λοιποὶ διέφυγον αὐτῶν ἐς τὰς πόλεις. ἑτέρους δὲ ἑπτακοσίους ἱππέας καὶ πεζοὺς ἑξακισχιλίους, Ἄννωνος αὐτῶν ἡγουμένου, συνήλασεν ἐς λόφον· ὅθεν, ἀποροῦντες ἁπάντων, ἐπρεσβεύοντο πρὸς τὸν Μάρκιον περὶ σπονδῶν. ὁ δ' ἐκέλευεν αὐτοὺς, Ἄννωνα καὶ τοὺς αὐτομόλους ἐκδόντας αὐτῷ, τότε πρεσβεύειν. οἱ μὲν δὴ καὶ τὸν Ἄννωνα στρατηγὸν ὄντα σφῶν συναρπάσαντες, ἔτι τῶν λεγομένων ἀκροωμένων, καὶ τοὺς αὐτομόλους, παρέδοσαν. ὁ δὲ Μάρκιος ᾔτει καὶ τὰ αἰχμάλωτα. λαβὼν δὲ καὶ ταῦτα, ἐκέλευεν αὐτοὺς τακτὸν ἀργύριον κατενεγκεῖν ἅπαντας ἔς τι τοῦ πεδίου χωρίον· οὐ γὰρ ἁρμόζειν τὰ ὑψηλότερα τοῖς παρακαλοῦσιν. καταβάντων δὲ ἐς τὸ πεδίον, ἔφη, ἄξια μὲν θανάτου δεδράκατε, οἳ τὰς πατρίδας ἔχοντες ὑφ' ὑμῖν, εἵλεσθε μετὰ τῶν ἐχθρῶν ἐπ' αὐτὰς στρατεύειν· δίδωμι δ' ὑμῖν, τὰ ὅπλα καταθεῖσιν, ἀπαθέσιν ἀπιέναι. ἀγανακτησάντων δ' εὐθὺς ὁμοῦ πάντων, καὶ ἀνακραγόντων οὐκ ἀποθήσεσθαι τὰ ὅπλα, μάχη γίγνεται καρτερά. καὶ τὸ μὲν ἥμισυ τῶν κελτιβήρων, πολλὰ δρασάντων, κατεκόπη· τὸ δ' ἥμισυ πρὸς Μάγωνα διεσώθη. ὁ δ' ἄρτι μὲν ἐς τὸ στρατόπεδον τὸ Ἄννωνος καταπεπλεύκει, ναυσὶν ἑξήκοντα μακραῖς· μαθὼν δὲ τὴν Ἄννωνος συμφορὰν, ἐς γάδειρα διέπλει, καὶ λιμῷ κακοπαθῶν, περιεσκόπει τὸ μέλλον. καὶ Μάγων μὲν ἐπὶ ἀργίας ἦν· Σιλανὸς δ' ἀπὸ-

σαλτο μὲν ὑπὸ τοῦ Σκιπίωνος, κάστακα πόλιν προσάγεσθαι· πολεμικῶς δ᾽ αὐτῷ τῶν καστακαίων ἐχόντων, παρεστρατοπέδευε, καὶ τοῦτο ἐμήνυε τῷ Σκιπίωνι. ὁ δὲ, προπέμψας τινὰ παρασκευὴν πολιορκίας, εἵπετο, καὶ παροδεύων, ἐνέβαλεν ἐς ἰλυργίαν πόλιν, ἣ ῥωμαίων μὲν ἦν φίλη κατὰ τὸν πρότερον Σκιπίωνα, ἀναιρεθέντος δ᾽ ἐκείνου, κρύφα μετετέθειτο, καὶ στρατιὰν ὑποδεξαμένη ῥωμαίων, ὡς ἔτι φίλη, καρχηδονίοις ἐκδεδώκει. ὧν χάριν ὁ Σκιπίων, σὺν ὀργῇ, τέσσαρσιν ὥραις ἐξεῖλεν αὐτὴν, βληθεὶς μὲν τὸν αὐχένα, τοῦ δὲ μάχης οὐκ ἀναχῶν ἕως ἐκράτησεν. καὶ ἡ στρατιὰ δι᾽ αὐτὸν, οὐδενὸς ἐπικελεύσαντος, ὑπεριδοῦσα τῆς ἁρπαγῆς, ἔκτεινον ὁμαλῶς καὶ παιδία καὶ γυναῖκας, μέχρι καὶ τὴν πόλιν αὐτοῖς ἐπικατέσκαψαν. ἀφικόμενος δ᾽ ἐς τὴν κάστακα ὁ Σκιπίων, τὸν μὲν στρατὸν ἐς τρία διεῖλε, καὶ τὴν πόλιν ἐφρούρει. μάχης δὲ οὐκ ἦρχε, διδοὺς ἔτι τοῖς καστακαίοις μεταγνῶναι. καὶ προσήκουεν αὐτοὺς οὕτω φρονεῖν. οἱ δὲ τοῖς φρουροῖς τι σφᾶς ἐμποδὼν οὖσιν ἐπιθέμενοι, καὶ κρατήσαντες, ἐνεχείρισαν τὴν πόλιν τῷ Σκιπίωνι. καὶ τοῖς δὲ μὲν φρουρὰν ὁ Σκιπίων ἐπέστησε, καὶ τὴν πόλιν ἐπιτρέψαν ἑνὶ τῶν καστακαίων ἐπὶ δόξης ὄντι ἀγαθῆς· αὐτὸς δ᾽ ἐς καρχηδόνα ἀνέζευγνυε, Σιλανὸν καὶ Μάρκιον περιπέμψας ἐπὶ τὸν πορθμὸν, δῃοῦν ὅσα δύναιντο. ἀστάπα δ᾽ ἦν πόλις καρχηδονίοις αἰεὶ διαμείνασα ὁμαλῶς· οἳ τότε τοῦ Μαρκίου σφᾶς περικαθημένου, συγγιγνώσκοντες ὅτι ῥωμαῖοι λαβόντες αὐτοὺς ἀνδραποδιοῦνται, τὴν περιουσίαν σφῶν ἐς τὴν ἀγορὰν συνήνεγκαν· καὶ ξύλα περιθέντες αὐτῇ, τὰ τέκνα καὶ τὰ γύναια ἐπέβησαν ἐπὶ τὴν ὕλην. πεντήκοντα δὲ σφῶν ὥρκισαν τοὺς ἀρίστους, ὅταν ἡ πόλις ἁλίσκηται, τὰ γύναια καὶ τοὺς παῖδας ἀνελεῖν, καὶ τὸ πῦρ ἅψαι καὶ ἑαυτοὺς κατασφάξαι. οἱ μὲν δὴ μάρτυρας τῶνδε ποιησάμενοι τοὺς θεοὺς, ἐξέδραμον ἐπὶ τὸν Μάρκιον, οὐχ ὑφορώμενον οὐδέν· ὅθεν αὐτοῦ τοὺς ψιλοὺς

καὶ τοὺς ἱππέας ἔτρεψαντο. ὁπλισαμένης δὲ τῆς φάλαγγος, τὰ μὲν τῶν ἀσταπαίων ἦν ἄριστα, ἐξ ἀπογνώσεως μαχομένων. ῥωμαῖοι δ᾽ ὅμως ἐκράτουν αὐτῶν, διὰ τὸ πλῆθος. οὐ γὰρ δὴ τῇ γε ἀρετῇ χείρους ἦσαν οἱ ἀσταπαῖοι. πεσόντων δὲ ἁπάντων, οἱ πεντήκοντα τὰς γυναῖκας καὶ τὰ παιδία κατέσφαξαν, καὶ τὸ πῦρ ἐγείραντες, ἑαυτοὺς ἐπέρριψαν, ἀκερδῆ τοῖς πολεμίοις τὴν νίκην ἐργασάμενοι. ὁ δὲ Μάρκιος τὴν ἀρετὴν τῶν ἀσταπαίων καταπλαγεὶς, οὐκ ἐνύβρισεν ἐς τὰ οἰκόπεδα αὐτῶν. μετὰ δὲ τοῦτο ὁ μὲν Σκιπίων ἐς ἀρρωστίαν ἐνέπεσεν, καὶ ὁ Μάρκιος αὐτῷ διῴκει τὸ στρατόπεδον· ὅσοι δὲ τῶν στρατιωτῶν ὑπ᾽ ἀσωτίας ἀνηλώκεσαν τὰ πεπορισμένα, ἡγούμενοι τῶν μὲν πόνων οὐδὲν ἄξιον εὑρῆσθαι, διὰ τὸ μηδὲν ἔχειν, σφετερίζεσθαι δ᾽ αὐτῶν τὰ ἔργα καὶ τὴν δόξαν Σκιπίωνα, ἀφίσταντο ἀπὸ τοῦ Μαρκίου, καὶ ἐφ᾽ ἑαυτῶν ἐστρατοπέδευον. ἔκ τε τῶν φρουρίων αὐτοῖς πολλοὶ συνέτρεχον, καὶ παρὰ Μάγωνος τινὲς ἀργύριον φέροντες, ἔπειθον αὐτοὺς ἐς τὸν Μάγωνα μεταθέσθαι. οἱ δὲ τὸ μὲν ἀργύριον ἔλαβον, στρατηγοὺς δ᾽ ἀπὸ σφῶν ἑλόμενοι καὶ ταξιάρχους, καὶ τἄλλα διακοσμηθέντες, ἐφ᾽ ἑαυτῶν ἐτάσσοντο, καὶ συνώμνυον ἀλλήλοις. πυθόμενος δὲ ὁ Σκιπίων ἐπέστελλεν ἐν μέρει μὲν τοῖς ἀφεστηκόσιν, ὅτι διὰ τὴν νόσον αὐτοὺς οὐκ ἀμείψαιτό πω· ἐν μέρει δὲ τοῖς ἄλλοις, ἵνα μεταπείθωσιν αὐτοὺς πλανωμένους· κοινῇ δ᾽ ἅπασιν ἐπιστολὴν ἄλλην, ὡς ἤδη συνηλλαγμένοις, ὅτι αὐτοὺς αὐτίκα ἀμείψεται. καὶ ἐκέλευεν εὐθὺς ἥκειν ἐπὶ σῖτον ἐς Καρχηδόνα. ἀναγινωσκομένων δὲ τούτων, οἱ μὲν ὑπώπτευον, οἱ δὲ πιστεύειν ἠξίουν, καὶ συνετίθεντο· καὶ πάντες ὥδευον ἐς τὴν Καρχηδόνα ὁμοῦ. προσιόντων δὲ αὐτῶν, ὁ Σκιπίων προσέταξε τοῖς συνοῦσιν οἱ βουλευταῖς ἕκαστον τῶν ἐξάρχων ἕνα τῆς στάσεως προσεταιρίσασθαι προσιόντα, καὶ, ὡς ἀπ᾽ εὐνοίας διορθοῦντα, ὑποδέξασθαί τε καὶ δῆσαι λαθόντα. προσέταξε

δὲ καὶ

δὲ καὶ τοῖς χιλιάρχοις, τοὺς πιστοτάτους ἕκαστον ἀφανῶς ἅμα ἕω ξιφήρεις ἔχειν, καὶ τὰ εὐκαιρότερα τῆς ἐκκλησίας ἐκ διαστημάτων καταλαβόντας, ἤν τις ἐπανίστηται, κατακεντεῖν καὶ κατακαίνειν αὐτίκα, ἄνευ παραγγέλματος. αὐτὸς δ᾽ ἄρτι φαινομένης ἡμέρας ἐπὶ τὸ βῆμα ἐκομίζετο, καὶ τοὺς κήρυκας ἐς ἐκκλησίαν ἐποτρύνειν περιέπεμπεν. οἱ δέ, αἰφνιδίου μὲν αὐτοῖς τοῦ κηρύγματος γενομένου, αἰδούμενοι δὲ ἔτι νοσοῦντα τὸν στρατηγὸν σφῶν παρακρατεῖν, καὶ νομίζοντες ἐπὶ τὰς ἀμοιβὰς καλεῖσθαι, συνέθεον ὁμοῦ πάντοθεν, οἱ μέν, ἄζωστοι τὰ ξίφη, οἱ δέ, καὶ ἐν χιτῶσι μόνοις, οὐ φθάσαντες οὐδὲ τὴν ἐσθῆτα πᾶσαν ἐπιθέσθαι. Σκιπίων δέ, φρουρὰν ἔχων ἀμφ᾽ αὐτὸν ἀφανῆ. καὶ πρῶτα μὲν αὐτοῖς ἐπεμέμφετο τῶν γεγονότων, εἶτα ἔφη τὴν αἰτίαν ἀναθήσειν μόνοις τοῖς ἄρξασιν, οὓς ἐγὼ κολάσω δι᾽ ὑμῶν. καὶ λέγων ὅτι προσέταξε τοῖς ὑπηρέταις διαστῆσαι τὸ πλῆθος. οἱ μὲν δὴ διΐσταντο, οἱ δὲ βουλευταὶ τοὺς αἰτίους παρῆγον ἐς τὸ μέσον. ἀναβοησάντων δὲ αὐτῶν, καὶ τοὺς συστρατιώτας βοηθῆσαι σφίσι παρακαλούντων, τοὺς ἐπιφθεγγομένους εὐθὺς ἔκτεινον οἱ χιλίαρχοι· καὶ τὸ μὲν πλῆθος, ἐπειδὴ τὴν ἐκκλησίαν φρουρουμένην εἶδεν, ἐφ᾽ ἡσυχίας ἦν σκυθρωποῦ· ὁ δὲ Σκιπίων τοὺς εἰς τὸ μέσον παραχθέντας αἰκισάμενος, καὶ μᾶλλον αὐτῶν τοὺς ἐκβοήσαντας, ἐκέλευσε τοὺς αὐχένας ἁπάντων ἐς τοὔδαφος πατάλοις προσδεθέντας ἀποτμηθῆναι, καὶ τοῖς ἄλλοις ἀμνηστίαν ἐκήρυξεν διδόναι. ὧδε μὲν τὸ στρατόπεδον καθίστατο τῷ Σκιπίωνι. Ἰνδίβιλις δὲ τῶν συνθεμένων τις αὐτῷ δυναστῶν, στασιαζούσης ἔτι τῆς ῥωμαϊκῆς στρατιᾶς, κατέδραμέν τι τῆς ὑπὸ τῷ Σκιπίωνι γῆς. καὶ αὐτῷ τοῦ Σκιπίωνος ἐπελάσαντος, ὑπέστη μὲν τὸν ἀγῶνα γενναίως, καὶ χιλίους καὶ διακοσίους ῥωμαίων διέφθειρεν· ἀπολομένων δ᾽ αὐτῷ δισμυρίων, ἐδεῖτο προσπέμψας· καὶ ὁ Σκιπίων αὐ-

τὸν χρήμασι ζημιώσας, συνηλλάσσετο. λαθὼν δὲ καὶ Μασανάσσης Ἀσδρούβαν, ἐπέρασε τὸν πορθμόν· καὶ φιλίαν τῷ Σκιπίωνι συνθέμενος, ὤμοσε συμμαχήσειν, ἂν ἐς λιβύην στρατεύῃ. ἔπραξε δὲ τοῦτο ἀνὴρ ἐς πάντα βέβαιος διὰ τοιάνδε αἰτίαν· Ἀσδρούβου τοῦ τότε οἱ συνόντος στρατηγοῦ θυγάτηρ ἐς γάμον ἐγγεγύητο Μασανάσσῃ· Σύφακα δ᾽ ἄρα τὸν δυνάστην ἔρως ἔκνιζε τῆς παιδός· καὶ οἱ καρχηδόνιοι μέγα ποιούμενοι Σύφακα ἐπὶ ῥωμαίοις προσλαβεῖν, ἔδωκαν αὐτῷ τὴν παῖδα, οὐδὲν τοῦ Ἀσδρούβου πυθόμενοι. καὶ τῶνδε πραχθέντων, ὁ μὲν Ἀσδρούβας αὐτὰ ἐπέκρυπτε, τὸν Μασανάσσην αἰδούμενος· ὁ δὲ αἰσθόμενος, συνέθετο τῷ Σκιπίωνι. Μάγων δὲ ὁ ναύαρχος ἀπογνοὺς ἀπὸ τῶν παρόντων τὰ ἐν ἰβηρίᾳ, πλεύσας ἐς λίγυας καὶ κελτοὺς, ἐξενολόγει. καὶ ὁ μὲν περὶ ταῦτα ἦν, καὶ τὰ γάδειρα ἐκλειφθέντα ὑπὸ τοῦ Μάγωνος οἱ ῥωμαῖοι παρέλαβον· στρατηγοὺς δὲ ἰβηρίας ἐτησίους ἐς τὰ ἔθνη τὰ εἰλημμένα ἔπεμπον, ἀπὸ τοῦδε ἀρξάμενοι, μικρὸν πρὸ τῆς τετάρτης καὶ τεσσαρακοστῆς καὶ ἑκατοστῆς ὀλυμπιάδος, ἁρμοστὰς ἢ ἐπιστάτας αὐτοῖς τῆς εἰρήνης ἐσομένους. καὶ αὐτοῖς ὁ Σκιπίων ὀλίγην στρατιὰν, ὡς ἐπὶ εἰρήνῃ, καταλιπὼν, συνῴκισε τοὺς τραυματίας ἐς πόλιν, ἣν, ἀπὸ τῆς ἰταλίας, ἰταλικὴν ἐκάλεσε· καὶ πατρίς ἐστι Τραϊανοῦ τε καὶ Ἀδριανοῦ τῶν ὕστερον ῥωμαίοις ἀρξάντων τὴν αὐτοκράτορα ἀρχήν· αὐτὸς δὲ ἐς ῥώμην ἐπὶ στόλου πολλοῦ διέπλει, λαμπρῶς τε κεκοσμημένου, καὶ καταγέμοντος αἰχμαλώτων ὁμοῦ καὶ χρημάτων καὶ ὅπλων καὶ λαφύρων ποικίλων. καὶ ἡ πόλις αὐτὸν ἐπιφανῶς ἐξεδέχετο, μετὰ δόξης ἀοιδίμου τε καὶ παραλόγου, διά τε νεότητα καὶ ταχυεργίαν καὶ μέγεθος εὐπραξίας· οἵ τε φθονοῦντες αὐτῷ, τὴν πάλαι κουφολογίαν ὡμολόγουν ἐς ἔργον ἀποβῆναι. καὶ Σκιπίων μὲν, θαυμα-

ζόμενος ἐθριάμβευεν· ἰνδίβιλις δὲ, οἰχομένου τοῦ Σκιπίωνος, αὖθις ἀφίστατο· καὶ αὐτὸν οἱ στρατηγοὶ τῆς ἰβηρίας, τὸν στρατὸν ἀγείραντες ὅσος αὐτοῖς ἦν περὶ τὰ φρούρια, καὶ δύναμιν ἄλλην ἀπὸ τῶν ὑπηκόων συναγαγόντες, ἔκτειναν· τοὺς δὲ αἰτίους τῆς ἀποστάσεως ἐς κρίσιν παραγαγόντες, θανάτῳ μετῆλθον, καὶ τὰ ὄντα αὐτοῖς ἐδήμευσαν· τά τε ἔθνη τὰ συναράμενα αὐτῷ χρήμασιν ἐζημίωσαν, καὶ τὰ ὅπλα αὐτῶν παρείλοντο, καὶ ὅμηρα ᾔτησαν, καὶ φρουρὰς δυνατωτέρας αὐτοῖς ἐπέστησαν. καὶ τάδε μὲν ἦν αὐθὺς μετὰ Σκιπίωνα· καὶ ἡ πρώτη ῥωμαίων ἐς ἰβηρίαν πεῖρα ἐς τοῦτο ἔληγε. χρόνῳ δὲ ὕστερον, ὅτε ῥωμαῖοι κελτοῖς τοῖς περὶ πάδον ἐπολέμουν καὶ Φιλίππῳ τῷ Μακεδόνι, ἐνεωτέρισαν αὖθις ἐς τὴν ἀσχολίαν αὐτῶν οἱ ἴβηρες· καὶ αὐτοῖς ἐπέμφθησαν ἐκ ῥώμης στρατηγοὶ τοῦδε τοῦ πολέμου, Σεμπρώνιός τε Τουδιτανὸς καὶ Μάρκος Ελουίδιος· μετὰ δὲ ἐκείνους, Μινούκιος· καὶ ἐπὶ τούτῳ, μείζονος ἔτι τῆς κινήσεως γιγνομένης, μετὰ πλέονος δυνάμεως ἐπέμφθη Κάτων, νέος μὲν ὢν ἔτι πάμπαν, αὐστηρὸς δὲ καὶ φιλόπονος· συνέσει τε γνώμης καὶ δεινότητι λόγων ἀριπρεπής· ὥστε αὐτὸν ἐπὶ τοῖς λόγοις ἐκάλουν οἱ ῥωμαῖοι Δημοσθένη, πυνθανόμενοι τὸν ἄριστον ἐν τοῖς ἕλλησι ῥήτορα γεγενῆσθαι Δημοσθένη. ὡς δὲ κατέπλευσε τῆς ἰβηρίας ἐς τὸ καλούμενον ἐμπόριον ὁ Κάτων, οἱ μὲν πολέμιοι πάντοθεν ἐπ' αὐτὸν ἐς τετρακισμυρίους ἀγηγέρατο· ὁ δὲ ἐπὶ μέν τι τὴν στρατιὰν ἐγύμναζεν, ὡς δὲ ἔμελλε συνενεχθήσεσθαι μάχῃ, τὰς ναῦς ἃς εἶχεν, ἐς μασσαλίαν περιέπεμψεν, καὶ τὸν στρατὸν ἐδίδασκεν, οὐ τοῦτο εἶναι φοβερὸν ὅτι πλήθει προύχουσιν οἱ πολέμιοι (τὴν γὰρ εὐψυχίαν αἰεὶ τοῦ πλέονος ἐπικρατεῖν) ἀλλ' ὅτι νεῶν ἀποροῦμεν· ὡς οὐκ ἔχειν, εἰ μὴ κρατοῖμεν, οὐ-

δὲ σωτηρίαν. ταῦτα δ' εἰπὼν, αὐτίκα συνέβαλλεν, οὐκ ἐλπίσας, ὥσπερ ἕτεροι, τὸν στρατὸν, ἀλλὰ φοβήσας. γιγνομένης δ' ἐν χερσὶ τῆς μάχης, ἐς πάντα μετεπήδα, παρακαλῶν καὶ παροξύνων. ἀκρίτου δ' αὐτῆς ἐς δείλην ἑσπέραν ἔτι οὔσης, καὶ πολλῶν πιπτόντων ἑκατέρωθεν, ἔς τινα λόφον ὑψηλὸν μετὰ τριῶν τάξεων ἐφέδρων ἀνέδραμεν, τὸ ἔργον ὁμοῦ πᾶν ἐποψόμενος. ὡς δὲ εἶδεν τοὺς μέσους τῶν ἰδίων μάλιστα ἐνοχλουμένους, ὥρμησεν ἐς αὐτοὺς παρακινδυνεύων, ἔργῳ τε καὶ βοῇ συνετάραξε τοὺς ἐχθρούς· καὶ πρῶτος κατῆρξε τῆς νίκης· διώξας τε νυκτὸς ὅλης, ἐκράτησεν αὐτῶν τοῦ στρατοπέδου, καὶ πολλοὺς ἀπέκτεινεν. ἐπανιόντι δ' ὡς ἡγεμόνι τῆς νίκης συνήδοντο συμπλεκόμενοι· καὶ μετὰ τοῦτο ἀνέπαυε τὴν στρατιὰν, καὶ τὰ λάφυρα ἐπίπρασκεν. πρεσβευόντων δ' ἐς αὐτὸν ἁπάντων, ὅμηρά τε ᾔτησεν ἄλλα, καὶ βιβλία ἐσφραγισμένα ἐς ἑκάστους περιέπεμπε, καὶ τοὺς φέροντας ἐκέλευεν ἡμέρᾳ μιᾷ πάντας ἀποδοῦναι. καὶ ὥριζε τὴν ἡμέραν, τεκμηράμενος ὅτε μάλιστα ἐς τὴν πορρωτάτω πόλιν ἀφίξονται. ἐκέλευεν δ' ἡ γραφὴ ταῖς ἀρχαῖς τῶν πόλεων ἁπάσαις, καθαιρεῖν τὰ τείχη σφῶν, αὐτῆς ἡμέρας ᾗ τὰ γράμματα λάβοιεν· εἰ δὲ ἀνάθοιντο τὴν ἡμέραν, ἀνδραποδισμὸν ἠπείλει. οἱ δὲ, ἄρτι μὲν ἡττημένοι μεγάλῃ μάχῃ, ὑπὸ δὲ ἀγνοίας εἴτε μόνοις εἴθ' ἅπασι ταῦτα προσετάχθη, φοβούμενοι, μόνοι μὲν, ὡς εὐκαταφρόνητον· μετὰ τῶν ἄλλων, μὴ μόνοι βραδύνωσι· καιρόν τε οὐκ ἔχοντες περιπέμψαι πρὸς ἀλλήλους, καὶ τοὺς στρατιώτας τοὺς ἐληλυθότας μετὰ τῶν γραμμάτων ἐφεστῶντας σφίσιν εὐλαβούμενοι, τὸ σφέτερον ἀσφαλὲς ἕκαστοι προὔργου τιθέμενοι, τὰ τείχη καθῄρουν μετὰ σπουδῆς. ἐν ᾧ γὰρ ἅπαξ ὑπακούειν ἐδόκει, καὶ τὸ ταχέως εἰργάσθαι προσλαβεῖν, ἐφιλοτιμοῦντο. οὕτω μὲν αἱ πόλεις αἱ περὶ Ἴβηρα ποταμόν,

μιᾶς ἡμέρας ὑφ' ἑνὸς στρατηγήματος αὐτοὶ τὰ τείχη τὰ ἑαυτῶν καθῄρουν· καὶ ῥωμαίοις ἐς τὸ μέλλον ἀφόβοι γινόμεναι, διέμειναν ἐς πλεῖστον ἐπὶ εἰρήνης. ὀλυμπιάσι δ' ὕστερον τέσσαρσιν ἀμφὶ τὰς πεντήκοντα καὶ ἑκατὸν πολλοὶ τῶν ἰβήρων γῆς ἀποροῦντες, ἀπέστησαν ἀπὸ ῥωμαίων, ἄλλοι τε καὶ λούσονες οἳ περὶ τὸν ἴβηρα ᾤκηνται. στρατεύσας οὖν ἐπ' αὐτοὺς ὕπατος Φύλβιος Φλάκκος ἐνίκα μάχῃ· καὶ πολλοὶ μὲν αὐτῶν κατὰ πόλεις διελύθησαν, ὅσοι δὲ μάλιστα γῆς ἠπόρουν, καὶ ἐξ ἄλης ἐβιότευον, ἐς κομπλέγαν πόλιν συνέφυγον, ἣ νεόκτιστός τε ἦν καὶ ὀχυρά, καὶ ηὔξητο ταχέως. ὅθεν ὁρμώμενοι τὸν Φλάκκον ἐκέλευον καταθεῖναι σφίσιν ὑπὲρ τῶν ἀνῃρημένων ἑκάστου σάγον τε καὶ ἵππον καὶ ξίφος, ἀποβαίνειν ἐξ ἰβηρίας, πρίν τι κακὸν παθεῖν. ὁ δὲ πολλοὺς αὐτοῖς ἔφη σάγους οἴσειν· καὶ τοῖς πρέσβεσιν αὐτῶν ἑπόμενος, τῇ πόλει παρεστρατοπέδευσεν. οἱ δ' ἀνομοίως ταῖς ἀπειλαῖς σφῶν, αὐτίκα ἀπεδίδρασκον, καὶ τὰ τῶν ἐγγὺς βαρβάρων ἐληΐζοντο. χρῶνται δὲ διπλοῖς ἱματίοις παχέσιν, ἀντὶ χλαμύδων αὐτὰ περιπορπώμενοι, καὶ τοῦτο σάγον ἡγοῦνται. Φλάκκῳ μὲν οὖν διάδοχος ἦλθεν ἐπὶ τὴν στρατηγίαν Τιβέριος Σεμπρώνιος Γράκχος· καράβιν δὲ πόλιν, ἣ ῥωμαίοις ἦν φίλη, δισμύριοι κελτιβήρων ἐπολιόρκουν· καὶ ἐπίδοξος ἦν ἁλώσεσθαι, Γράκχου σφόδρα μὲν ἐπειγομένου βοηθῆσαι τῇ πόλει, περιόντων δ' ἐν κύκλῳ τοὺς πολεμίους, καὶ οὐκ ἔχοντος οὐδὲ μηνῦσαι τῇ πόλει περὶ αὐτοῦ. τῶν οὖν τις ἰλάρχων Κομίνιος ἐνθυμηθεὶς πρὸς ἑαυτόν, καὶ Γράκχῳ τὸ τόλμημα ἀνενεγκών, ἐνεπορπήσατο σάγον ἰβηρικῶς, καὶ λαθὼν ἀνεμίχθη τοῖς χορτολογοῦσι τῶν πολεμίων, συνεισῆλθέ τε αὐτοῖς, ὡς ἴβηρ, ἐς τὸ στρατόπεδον, καὶ εἰς τὴν καράβιν διαδραμὼν, ἐμήνυσεν ὅτι Γράκχος ἐπίοι. οἱ μὲν δὴ διεσώθησαν, ἐγκαρτερήσαντες τῇ πολιορκίᾳ μέχρι Γράκχος αὐτοῖς ἐπῆλθε μετὰ τρίτην ἡμέραν, καὶ οἱ πολιορκοῦντες ἀπανέστησαν. δισμύριοι

δ' ἐκ τῆς Κομπλέγας διέτρεχον ἐς τὸ Γράκχου στρατόπεδον σὺν ἱκετηρίαις, καὶ πλησιάσαντες, ἀδοκήτως ἐπέθεντο αὐτῷ, καὶ συνετάραξαν. ὁ δ' ἀμηχάνως ἐξέλιπεν αὐτοῖς τὸ στρατόπεδον, καὶ ὑπεκρίνατο φυγήν· εἶτα διαρπάζουσιν ἐπιστραφεὶς, ἐπέπεσέ τε καὶ πλείστους ἔκτεινε, καὶ τῆς Κομπλέγας κατέσχε καὶ τὴν περιοικίδα, τοὺς δὲ ἀπόρους συνῴκιζε, καὶ γῆν αὐτοῖς διεμέτρει· καὶ πᾶσιν ἔθνεσιν ἔθετο τοῖς τῇδε συνθήκας ἀκριβεῖς, καθ' ἃς Ῥωμαίων ἔσονται φίλοι· ὅρκους τε ὤμοσεν αὐτοῖς καὶ ἔλαβεν, ἐπιποθήτους ἐν τοῖς ὕστερον πολέμοις πολλάκις γενομένους· δι' ἃ καὶ ἐν Ἰβηρίᾳ καὶ ἐν Ῥώμῃ διώνυμος ἐγένετο ὁ Γράκχος, καὶ ἐθριάμβευσε λαμπρῶς. Ἔτεσιν δὲ οὐ πολλοῖς ὕστερον πόλεμος ἄλλος ἠγέρθη περὶ Ἰβηρίαν χαλεπὸς, ἐκ τοιᾶσδε προφάσεως· Σεγήδη πόλις ἐστὶ Κελτιβήρων τῶν Βελλῶν λεγομένων μεγάλη τε καὶ δυνατὴ, καὶ ἐς τὰς Σεμπρωνίου Γράκχου συνθήκας ἐνεγέγραπτο· αὕτη τὰς βραχυτέρας πόλεις ἀνῴκιζεν ἐς αὑτὴν, καὶ τεῖχος ἐς τεσσαράκοντα σταδίους κύκλῳ περιεβάλλετο· Τίτθους τε ὅμορον γένος ἄλλο συνηνάγκαζεν ἐς ταὐτά. ἡ δὲ σύγκλητος πυθομένη, τό, τε τεῖχος ἀπηγόρευε τειχίζειν, καὶ φόρους ᾔτει τοὺς ὁρισθέντας ἐπὶ Γράκχου· στρατεύεσθαί τε Ῥωμαίοις προσέτασσε. καὶ γὰρ τοῦθ' αἱ Γράκχου συνθῆκαι ἐκέλευον. οἱ δὲ περὶ μὲν τοῦ τείχους ἔλεγον, ἀπηγορεῦσθαι Κελτίβηρσιν ὑπὸ Γράκχου μὴ κτίζειν πόλεις, οὐ τειχίζειν τὰς ὑπαρχούσας. τῶν δὲ φόρων καὶ τῆς ξεναγίας ὑπ' αὐτῶν ἔφασαν Ῥωμαίων ἀφεῖσθαι μετὰ Γράκχον. καὶ τῷ ὄντι ἦσαν ἀφειμένοι. δίδωσι δ' ἡ βουλὴ τὰς τοιάσδε δωρεὰς, ἀεὶ προστιθεῖσα κυρίας ἔσεσθαι μέχρι ἂν αὐτῇ καὶ τῷ δήμῳ δοκῇ. στρατηγὸς οὖν ἐπ' αὐτοὺς Νωβελίων ἐπέμπετο μετὰ στρατιᾶς οὐ πολὺ τρισμυρίων ἀνδρῶν ἀποδεούσης. ὃν ἐπειδὴ σφίσιν οἱ Σεγηδαῖοι προσιόντα ἔγνωσαν, οὔπω τὸ τεῖχος ἐκτελέσαν-

τες, ἔφυγον ἐς ἀρουάκκους μετὰ παίδων καὶ γυναικῶν, καὶ
σφᾶς ὑποδέχεσθαι τοὺς ἀρουάκκους παρεκάλουν. οἱ δὲ ὑ-
ποδέχονταί τε καὶ Κάρον αὐτῶν σεγηδαῖον, πολεμικὸν εἶναι νο-
μιζόμενον, αἱροῦνται στρατηγόν. ὁ δὲ τρίτῃ μετὰ τὴν χειροτο-
νίαν ἡμέρᾳ δισμυρίους πεζοὺς καὶ ἱππέας πεντακισχιλίους ἔς
τινα λόχμην ἐνεδρεύσας, παροδεύουσι τοῖς ῥωμαίοις ἐπέθε-
το, καὶ τῆς μάχης ἐπὶ πολὺ ἀγχωμάλου γενομένης, ἐκράτει τε
λαμπρῶς, καὶ ῥωμαίων τῶν ἐξ ἄστεος ἔκτεινεν ἐς ἑξακισχιλί-
ους· ὡς μέγα τῇ πόλει γενέσθαι τὸ ἀτύχημα. ἀτάκτου δ' αὐ-
τῷ τῆς διώξεως ἐπὶ τῇ νίκῃ γενομένης, οἱ τὰ σκευοφόρα ῥω-
μαίων φυλάσσοντες ἱππεῖς ἐπέδραμον, καὶ Κάρον τε αὐτὸν ἀ-
ριστεύοντα ἔκτειναν, καὶ ἑτέρους ἀμφ' αὐτὸν οὐκ ἐλάσσους καὶ
οἵδε τῶν ἑξακισχιλίων· μέχρι νὺξ ἐπελθοῦσα διέλυσεν. ἐγίγνε-
το δὲ ταῦθ' ὅτε ῥωμαῖοι τῷ ἡφαίστῳ τὴν ἑορτὴν ἄγουσιν· ὅθεν
οὐδεὶς ἂν ἑκὼν ἄρξειεν ἐξ ἐκείνου μάχης, παρὰ τήνδε τὴν
ἡμέραν. ἀρουάκκοι μὲν οὖν εὐθὺς αὐτῆς νυκτὸς ἐς νομαν-
τίαν, ἣ δυνατωτάτη πόλις ἦν, συνελέγοντο, καὶ στρατη-
γοὺς Ἄμβωνα καὶ Λεύκωνα ᾑροῦντο. Νωβελίων δ' αὐτοῖς
τρισὶν ἡμέραις ὕστερον ἐπελθὼν παρεστρατοπέδευσεν ἀπὸ στα-
δίων τεσσάρων καὶ εἴκοσιν. παραγενομένων δὲ οἱ νομάδων ἱπ-
πέων τριακοσίων, οὓς Μασσανάσσης ἐπεπόμφει, καὶ ἐλεφάντων
δέκα, τὴν στρατιὰν ἐπῆγε τοῖς πολεμίοις, ἄγων ὄπισθεν τὰ θη-
ρία λανθάνοντα. καὶ γενομένης ἐν χερσὶ τῆς μάχης, οἱ μὲν ἄν-
δρες διέστησαν, τὰ δὲ θηρία ἐξεφαίνετο. καὶ οἱ κελτίβη-
ρες, αὐτοί τε καὶ οἱ ἵπποι σφῶν οὔπω πρὶν ἑωρακότες ἐλέφαν-
τας ἐν πολέμοις, ἐθορυβοῦντο καὶ κατέφυγον ἐς τὴν πόλιν. ὁ δὲ
καὶ τοῖς τείχεσιν αὐτοὺς ἐπῆγε, καὶ ἐμάχετο γενναίως· μέχρι τῶν
ἐλεφάντων τις ἐς τὴν κεφαλὴν λίθῳ μεγάλῳ καταπίπτοντι
πληγεὶς, ἠγριώθη τε καὶ ἐκβοήσας μέγιστον, ἐς τοὺς φίλους
ἐπεστρέφετο· καὶ ἀνῄρει τὸν ἐν ποσὶν, οὐ διακρίνων ἐπ

φίλον ἢ πολέμιον· οἵ τε ἄλλοι ἐλέφαντες πρὸς τὴν ἐκείνου
βοὴν διαταραχθέντες, ὅμοια πάντες ἔδρων, καὶ τοὺς ῥωμαί-
ους συνεπάτουν τε καὶ ἀνέτεμνον καὶ ἀνερρίπτουν· ὅπερ ἀεὶ
θορυβηθέντες οἱ ἐλέφαντες εἰώθασι πάσχειν, καὶ πάντας ἡ-
γεῖσθαι πολεμίους· καί τινες διὰ τήνδε τὴν ἀπιστίαν αὐ-
τοὺς καλοῦσι κοινοὺς πολεμίους. φυγὴ οὖν τῶν ῥωμαίων ἐγί-
γνετο ἄτακτος· ἣν οἱ νομαντῖνοι κατιδόντες ἀπὸ τῶν τει-
χῶν, ἐξέθορον, καὶ διώκοντες ἔκτειναν ἄνδρας μὲν ἐς τετρα
κισχιλίους, ἐλέφαντας δὲ τρεῖς· ὅπλα τε πολλὰ καὶ σημεῖα
ἔλαβον. κελτιβήρων δὲ ἀπέθανον ἐς δισχιλίους· καὶ ὁ Νωβε-
λίων μικρὸν ἐκ τοῦ πταίσματος ἀναλαβὼν, ἀγορᾷ μέν τινι
τῶν πολεμίων ἐπεχείρει περὶ ἀξείνιον πόλιν σεσωρευμένῃ· οὐ-
δὲν δὲ ἀνύσας, ἀλλὰ κἀνταῦθα πολλοὺς ἀποβαλὼν, ἐπανῆλ
θεν νυκτὸς ἐς τὸ στρατόπεδον. ὅθεν Βιήσιον ἵππαρχον ἐπὶ
συμμαχίαν ἔς τι γειτονεῦον ἔθνος ἔπεμπεν, ἱππέων δεόμενος.
οἱ δὲ συνέπεμψαν αὐτῷ τινὰς ἱππέας, οἷς ἐρχομένοις ἐλό-
χων οἱ κελτίβηρες. καὶ τῆς ἐνέδρας ἐκφανείσης, οἱ μὲν
σύμμαχοι διεδίδρασκον· ὁ δὲ Βιήσιος, μαχόμενος, αὐτός
τε καὶ σὺν αὐτῷ πολλοὶ ῥωμαίων ἀπέθανον. συνεχῶν δὲ
τοιῶνδε πταισμάτων αὐτοῖς ἐπιγιγνομένων, πόλις ὄκιλις,
ἔνθα ἡ ἀγορὰ καὶ τὰ χρήματα ἦν τὰ ῥωμαίων, μετέθετο
ἐς τοὺς κελτίβηρας· καὶ ὁ Νωβελίων ἀπιστῶν ἅπασιν, ἐν τῷ
στρατοπέδῳ διεχείμαζε, στεγάσας ὡς ἐδύνατο, καὶ τὴν ἀ-
γορὰν ἔχων ἔνδον, καὶ κακοπαθῶν αὐτῆς τε τῆς ἀγορᾶς
τῇ ὀλιγότητι καὶ νιφετοῦ πυκνότητι καὶ κρύους χαλεπότητι. ὥς-
τε πολλοὶ τῶν στρατιωτῶν, οἱ μὲν ἐν τοῖς φρυγανισμοῖς, οἱ δὲ
ἔνδον, ὑπὸ στενοχωρίας καὶ κρύους ἀπώλλυντο. τοῦ δ' ἐπιόντος
ἔτους Νωβελίωνι μὲν ἐπὶ τὴν στρατηγίαν ἀφικνεῖται διάδο-
χος Κλαύδιος Μάρκελλος, ἄγων πεζοὺς ὀκτακισχιλίους καὶ ἱπ-
πέας πεντακοσίους. λοχώντων δὲ καὶ τόνδε τῶν πολεμίων, διηλ-

θεν πεφυλαγμένως, καὶ σὺν παντὶ τῷ στρατῷ περὶ τὴν ὄκιλιν ἐστρατοπέδευεν. ἐπιτυχὴς δὲ τὰ πολεμικὰ ὤν, τὴν πόλιν αὐτίκα παρεστήσατο, καὶ συγγνώμην ἔδωκεν, ὅμηρά τινα καὶ ἀργυρείου τάλαντα τριάκοντα λαβών. νεργόβριγες δὲ αὐτοῦ περὶ τῆσδε τῆς μετριοπαθείας πυθόμενοι, πέμψαντες, ἠρώτων τί ἂν πράξαντες, εἰρήνης ἐπιτύχοιεν. ὡς δὲ αὐτοὺς ἐκέλευεν ἑκατὸν ἱππέας δοῦναι συστρατεύοντας, οἱ μὲν ὑπισχνοῦντο δώσειν, κατὰ δ᾽ ἄλλο μέρος τοῖς οὐραγοῦσιν ἐπετίθεντο, καὶ τῶν σκευοφόρων τι περιέσπων· εἶτα ἀφίκοντο τοὺς ἑκατὸν ἱππέας ἄγοντες, ὡς δὴ κατὰ τὸ συγκείμενον. περί τε τῶν ἐπὶ τῆς οὐραγίας γενομένων, ἔλεγον τινὰς ἀγνοοῦντας τὰ ὡμολογημένα, ἁμαρτεῖν. ὁ δὲ τοὺς μὲν ἑκατὸν ἱππέας ἔδησε, τοὺς δ᾽ ἵππους αὐτῶν ἀποδόμενος, καὶ τὸ πεδίον καταδραμών, τὴν λείαν διεῖλεν τῷ στρατῷ, καὶ τῇ πόλει παρεστρατοπέδευσε. νεργόβριγες δέ, προσαγομένων αὐτοῖς μηχανημάτων ἅμα καὶ χωμάτων, κήρυκα πέμψαντες λυκῆν ἀντὶ κηρυκείου περικείμενον, ᾔτουν συγγνώμην. ὁ δὲ οὐκ ἔφη δώσειν, εἰ μὴ πάντες ἀρούακκοι καὶ βελλοὶ καὶ τίτθοι δεηθεῖεν ὁμοῦ. ὧν τὰ μὲν ἔθνη πυθόμενα, προθύμως ἐπρεσβεύετο, καὶ τὸν Μάρκελλον ἠξίουν ποινὴν αὐτοῖς ἐπιθέντα μετρίαν, ἐς τὰς Γράκχου συνθήκας ἐπαναγαγεῖν. ἀντέλεγον δ᾽ αὐτοῖς ἐπιχώριοι τινὲς ὑπ᾽ ἐκείνων πεπολεμημένοι. καὶ ὁ Μάρκελλος ἐξ ἑκατέρων πρέσβεις ἐς ῥώμην ἔπεμπεν ἀντιλέξοντας ἀλλήλοις· ἰδίᾳ δὲ ἐπέστελλεν τῇ βουλῇ, προτρέπων ἐς τὰς διαλύσεις. ἐβούλετο γὰρ ἐφ᾽ ἑαυτοῦ τὸν πόλεμον ἐκλυθῆναι, δόξαν οἱ χρηστὴν καὶ ἀπὸ τοῦδε νομίζων ἔσεσθαι. τῶν δὲ πρέσβεων οἱ μὲν ἐκ τῆς φιλίας, ἐς τὴν πόλιν ἐσελθόντες, ἐξενίζοντο· οἱ δὲ ἐκ τῶν πολεμίων, ὡς ἔθος ἐστίν, ἔξω τειχῶν ἐστάθμευον. ἀποδοκιμάζουσα δ᾽ ἡ βουλὴ τὴν εἰρήνην, καὶ χαλεπῶς φέρουσα ὅτι μή, καθάπερ αὐτοὺς ἠξίου Νωβελίων ὁ πρὸ Μαρκέλλου, ῥωμαίοις αὐτοὺς ἐπιτε-

φέρεσθαι, καὶ Μάρκελλον αὐτοῖς ἐξοίσειν ἔφη τὰ δόξαντα· τὸ στρατιὰν αὖθις ἐκλήρουν ἐς Ἰβηρίαν τότε πρῶτον, ἀντὶ καταλέξεως. πολλῶν γὰρ αἰτιωμένων τοὺς ὑπάτους, ἀδίκους ποιεῖσθαι τὰς καταγραφὰς, καὶ τινας ἐς τὰς κουφοτέρας στρατείας καταλέγειν, ἔδοξεν ἀπὸ κλήρου τότε συναγαγεῖν. ὧν ἐστρατήγει Λικίνιος Λεύκουλλος ὕπατος, πρεσβευτῇ χρώμενος Κορνηλίῳ Σκιπίωνι, τῷ Καρχηδόνα μετ' οὐ πολὺ ἑλόντι, καὶ Νομαντίαν ὕστερον. ὁ μὲν δὴ Λεύκουλλος ὥδευεν. ὁ δὲ Μάρκελλος τόν τε πόλεμον προεῖπε τοῖς Κελτίβηρσι, καὶ τὰ ὅμηρα αἰτοῦσιν ἀπέδωκε. τὸν δ' ἐν Ῥώμῃ τοὺς λόγους διαθέμενον ὑπὲρ τῶν Κελτιβήρων, ἰδίᾳ πρὸς αὐτὸν ἀνακαλέσας ἐπὶ πολὺ διέτριβον. ὑφ' ὅτου δὴ καὶ ὑπωπτεύετο μὲν καὶ τότε, μᾶλλον δ' ἐπιστώθη τοῖς ὕστερον γενομένοις, ὅτι αὐτοὺς ἀνέπειθεν ἑαυτῷ τὰ κατὰ σφᾶς ἐπιτρέψαι· ἐπειγόμενος ἄρα πρὸ τοῦ Λουκούλλου τὸν πόλεμον καταλυθῆναι. μετὰ γὰρ τὴν συνουσίαν, Νεργόβριγας μὲν Ἀρουάκων πεντακισχίλιοι κατέλαβον· Μάρκελλος δ' ἐπὶ Νομαντίαν ἐχώρει· καὶ πέντε σταδίους ἀποσχὼν, παρεστρατοπέδευεν αὐτοῖς, καὶ συνεδίωκεν ἐς τὴν πόλιν. ἕως ὁ τῶν Νομαντίνων στρατηγὸς Λιτέννων ὑποστὰς, ἐβόα βούλεσθαι Μαρκέλλῳ συνελθεῖν ἐς λόγους· καὶ συνελθὼν, ἔφη Βελλοὺς καὶ Τίτθους καὶ Ἀρουάκους ἑαυτοὺς ἐπιτρέπειν Μαρκέλλῳ. ὁ δὲ ἄσμενος ἀκούσας, ὅμηρά τε καὶ χρήματα πάντας ᾔτησε, καὶ λαβὼν, ἀφῆκεν ἐλευθέρους. ὁ μὲν δὴ πόλεμος ὁ Βελλῶν τε καὶ Τίτθων καὶ Ἀρουάκων ἔληγεν οὕτω, πρὸ Λευκούλλου. ὁ δὲ Λούκουλλος δόξης τε ἐπιθυμῶν, καὶ ἐκ πενίας χρῄζων χρηματισμοῦ, ἐς Οὐακκαίους, ἕτερον γένος Κελτιβήρων, ἐνέβαλεν, οἳ γείτονες τῶν Ἀρουάκων εἰσίν· οὔτε τινὸς αὐτῷ ψηφίσματος γεγονότος, οὔτε Οὐακκαίων Ῥωμαίοις πεπολεμηκότων, οὐδὲ ἐς αὐτόν τι Λεύκουλλον ἁμαρτόντων. περάσας δὲ τὸν ποταμὸν τὸν καλούμενον Τάγον, ἀφίκετο πρὸς Καύκαν πόλιν, καὶ παρεστρατοπέδευσεν. οἱ δ' ἐπύ-

θοντο μὲν αὐτοῦ τίνος ἥκοι δεόμενος, ἢ τί πολέμου χρῄζων· φήσαντος δὲ ὅτι καρπητανοῖς ὑπὸ οὐακκαίων ἀδικουμένοις βοηθοίη, τότε μὲν ἀνεχώρουν ἐς τὴν πόλιν· ξυλευομένῳ δὲ αὐτῷ καὶ χορτολογοῦντι ἐπέκειντο. καὶ κτείνουσι πολλούς, καὶ τοὺς λοιποὺς διώκουσιν ἐς τὸ στρατόπεδον. γιγνομένης δὲ καὶ παρατάξεως, οἱ καυκαῖοι ψιλοῖς ἐοικότες, ἐκράτουν ἐπὶ πολὺ τοῦ Λουκούλλου, μέχρι σφῶν τὰ ἀκόντια πάντα ἐξαναλώθη· τότε ἔφευγον, οὐκ ὄντες μονομάχοι· περί τε τὰς πύλας αὐτῶν ὠθουμένων, ἀνῃρέθησαν ἀμφὶ τοὺς τρισχιλίους. τῆς δ' ἐπιούσης οἱ πρεσβύτατοι, στεφανωσάμενοί τε καὶ φέροντες ἱκετηρίας, τὸν Λούκουλλον αὖθις ἠρώτων τί ποιοῦντες ἂν εἶεν φίλοι. ὁ δὲ αὐτοῖς ὅμηρά τε ᾔτει καὶ ἀργυρίου τάλαντα ἑκατόν· καὶ τοὺς ἱππέας αὐτῶν ἐκέλευσέν οἱ συστρατεύειν. ὡς δὲ πάντα ἔλαβεν, ἠξίου φρουρὰν ἐς τὴν πόλιν ἐσαγαγεῖν. δεξαμένων δὲ καὶ τοῦτο τῶν καυκαίων, ἐσήγαγε δισχιλίους ἀριστίνδην ἐξειλεγμένους· οἷς ἐσελθοῦσιν εἴρητο γίγνεσθαι περὶ τὰ τείχη. καταλαβόντων δὲ αὐτὰ τῶν δισχιλίων, ἐπήγαγε τὴν ἄλλην στρατιὰν ὁ Λούκουλλος, καὶ τῇ σάλπιγγι ὑπεσήμαινε κτείνειν καυκαίους ἅπαντας ἡβηδόν. οἱ μὲν δὴ πίστεις τε καὶ θεοὺς ὁρκίους ἐπικαλούμενοι, καὶ ῥωμαίους ἐς ἀπιστίαν λοιδοροῦντες, διεφθείροντο ὠμῶς, ἐκ δισμυρίων ἀνδρῶν κατὰ πύλας ἀποκρήμνους διαφυγόντων ὀλίγων. ὁ δὲ Λούκουλλος τὴν πόλιν διήρπαζε, καὶ δόξης ῥωμαίοις ἀνεπίμπλη κακῆς. οἱ δ' ἄλλοι βάρβαροι συνέθεον ἐκ τῶν πεδίων, οἱ μὲν ἐς τὰ ἀπόκρημνα, οἱ δὲ ἐς τὰς ὀχυρωτέρας πόλεις συμφέροντες ἃ δύναιντο, καὶ ἐμπιμπρῶντες ὅσα λείποιεν, τοῦ μηδὲν ἔτι Λούκουλλον εὑρεῖν. ὁ δὲ, πολλὴν γῆν ἔρημον ὁδεύσας, ἐς ἑτέραν πόλιν ἰντερκατίαν ἀφίκετο, ἔνθα πεζοὶ μὲν γὰρ δισμυρίους συνεπεφεύγεσαν, ἱππεῖς δὲ δισχίλιοι· καὶ αὐτοὺς ὁ Λούκουλλος ἐς συνθήκας ὑπὸ ἀνοίας προυκαλεῖτο. οἱ δ' ἐπ' ὀνείδει τὰ

καταίων αὐτῷ προύφερον, καὶ ἐπυνθάνοντο εἰ ἐπὶ ταῖς ἐκείνων πίστεις αὐτοὺς καλοίη. ὁ δ', οἷον ἅπαντες οἱ ἁμαρτόντες, ἀνθ' ἑαυτοῦ τοῖς ὀνειδίζουσι χαλεπαίνων, ἔκειρεν αὐτῶν τὰ πεδία· καὶ περικαθίσας κύκλῳ τὴν πόλιν, χώματα ἤγειρε πολλά, καὶ συνεχῶς ἐξέτασσε, προκαλούμενος ἐς μάχην. οἱ δ' οὔπω μὲν ἀντεξέτασσον, ἀλλ' ἦσαν ἀκροβολισμοὶ μόνοι. θαμινὰ δέ τις τῶν βαρβάρων ἐξίππευεν ἐς τὸ μεταίχμιον, κεκοσμημένος ὅπλοις περιφανῶς, καὶ προυκαλεῖτο Ῥωμαίων ἐς μονομαχίαν τὸν ἐθέλοντα. οὐδενὸς δ' ὑπακούοντος, ἐπιτωθάσας, καὶ τῷ σχήματι κατορχησάμενος, ἀπεχώρει. γιγνομένου δὲ τούτου πολλάκις, ὁ Σκιπίων ἔτι νέος ὤν, ὑπερήλγησέ τε καὶ προπηδήσας ὑπέστη τὸ μονομάχιον. εὐτυχῶς δ' ἐκράτησεν ἀνδρὸς μεγάλου, μικρὸς ὤν. καὶ τόδε μὲν ἐπῆρε Ῥωμαίους· νυκτὸς δὲ φόβοι πολλοὶ κατεῖχον. οἱ γὰρ ἱππεῖς ὅσοι τῶν βαρβάρων, πρὶν ἀφικέσθαι Λούκουλλον, ἐπὶ χορτολογίαν προεληλύθεσαν, οὐκ ἔχοντες ἐσελθεῖν ἐς τὴν πόλιν, Λουκούλλου περικαθημένου, περιθέοντες ἐβόων καὶ συνετάρασσον· καὶ συνεπήχουν οἱ ἔνδον αὐτοῖς· ὅθεν ὁ φόβος ἦν τοῖς Ῥωμαίοις ποικίλος. ἔκαμνον δὲ καὶ τῇ φυλακῇ δι' ἀγρυπνίαν καὶ ἀήθειαν τροφῶν ἐπιχωρίων. οἴνου γὰρ οὐκ ὄντος, οὐδ' ἁλῶν, οὐδ' ὄξους, οὐδ' ἐλαίου, πυροὺς καὶ κριθὰς καὶ ἐλάφων κρέα πολλὰ καὶ λαγωῶν χωρὶς ἁλῶν ἑψόμενα σιτούμενοι, κατερρήγνυντο τὰς γαστέρας, καὶ πολλοὶ καὶ ἀπώλλυντο. μέχρι ποτὲ τὸ χῶμα ἠγέρθη, καὶ τὰ τείχη τῶν πολεμίων τύπτοντες μηχαναῖς, μέρος μέν τι κατέβαλον, καὶ ἐσέδραμον ἐς τὴν πόλιν· μετὰ δ' οὐ πολὺ βιασθέντες τε καὶ ἀναχωροῦντες, ἐσπίπτουσιν ἔς τινα δεξαμενὴν ὕδατος ὑπ' ἀγνωσίας· ἔνθα οἱ πλείους ἀπώλοντο. καὶ νυκτὸς οἱ βάρβαροι τὰ πεσόντα ἀνῳκοδόμουν. πάνυ δ' ἑκατέρων κακοπαθούντων (ὁ γὰρ λιμὸς ἀμφοῖν ἥπτετο) Σκιπίων ἀνεδέχετο τοῖς βαρβάροις οὐδὲν ἔσεσθαι παράσπονδον.

καὶ πιστευθεὶς, κατὰ κλέος ἀρετῆς, διέλυσε τὸν πόλεμον ἐπὶ τοῖσδε, Λουκούλλῳ δοθῆναι παρὰ τῶν Ἰντερκατίων σάγους μυρίους, καὶ θρεμμάτων τι πλῆθος ὡρισμένον, καὶ πεντήκοντα ἄνδρας ἐς ὅμηρα. χρυσὸν δὲ καὶ ἄργυρον Λούκουλλος αἰτῶν, (οὗ δὴ χάριν, ἡγούμενος ὅλην Ἰβηρίαν πολύχρυσον εἶναι καὶ πολυάργυρον, ἐπολέμει) οὐκ ἔλαβεν. οὐ γὰρ εἶχον· οὐδὲ ἐν δόξῃ ταῦτ᾽ ἐκεῖνοι Κελτιβήρων τίθενται. ἐπὶ δὲ Παλλαντίαν ᾔει πόλιν, ἣ δόξαν τε ἀρετῆς εἶχε μείζω, καὶ πολλοὶ συνεπεφεύγεσαν ἐς αὐτήν· ὅθεν αὐτῷ συνεβούλευόν τινες ἀποχωρεῖν παρὸ πεῖρας. ὁ δὲ, πολυχρήματον εἶναι πυνθανόμενος, οὐκ ἀνεχώρει, μέχρι σιτολογοῦντα αὐτὸν οἱ Παλλάντιοι συνεχῶς ἱππεῦσιν ἠνώχλουν τε καὶ σιτολογεῖν ἐκώλυον. ἀπορῶν δὲ τροφῶν ὁ Λούκουλλος ἀνεζεύγνυ, τετράγωνον ἐν πλινθίῳ τὸν στρατὸν ἄγων, ἑπομένων αὐτῷ καὶ τότε τῶν Παλλαντίων μέχρι Δορίου ποταμοῦ. ὅθεν οἱ μὲν Παλλάντιοι νυκτὸς ἀνεχώρουν· ὁ δὲ ἐς τὴν Τυρδιτανῶν χώραν διελθὼν, ἐχείμαζε. καὶ τοῦτο τέλος ἦν τοῦ Οὐακκαίων πολέμου, παρὰ ψήφισμα Ῥωμαίων ὑπὸ Λουκούλλου γενομένου· καὶ ὁ Λούκουλλος ἐπὶ τῷδε οὐδὲ ἐκρίθη. Τοῦ δ᾽ αὐτοῦ χρόνου μέρος ἄλλο Ἰβήρων αὐτονόμων, οἳ Λυσιτανοὶ καλοῦνται, Πουνίκου σφῶν ἡγουμένου, τὰ Ῥωμαίων ὑπήκοα ἐλῄζοντο, καὶ τοὺς στρατηγοῦντας αὐτῶν Μανίλιόν τε καὶ Καλπούρνιον Πείσωνα τρεψάμενοι, κτείνουσιν ἑξακισχιλίους, καὶ ἐπ᾽ αὐτοῖς Τερέντιον Οὐάρρωνα ταμίαν. οἷς ἐπαρθεὶς ὁ Πούνικος, τὰ μέχρι ὠκεανοῦ κατέδραμε· καὶ Οὐέττωνας ἐς τὴν στρατιὰν προσλαβὼν, ἐπολιόρκει Ῥωμαίων ὑπηκόους τοὺς λεγομένους Βλαστοφοίνικας· οἷς φασιν Ἀννίβαν τὸν Καρχηδόνιον ἐποικίσαι τινὰς ἐκ Λιβύης, καὶ παρὰ τοῦτο κληθῆναι Βλαστοφοίνικας. Πούνικος μὲν οὖν λίθῳ πληγεὶς ἐς τὴν κεφαλὴν, ἀπέθανεν· διαδέχεται δ᾽ αὐτὸν ἀνὴρ ᾧ ὄνομα ἦν Καίσαρος. οὗτος ὁ Καίσαρος Μουμμίῳ μετὰ στρατιᾶς ἄλλης ἐ-

πελθόντι ἀπὸ ῥώμης ἐς μάχην συνηνέχθη· καὶ ἡττώμενος, ἔφυγε· Μουμμίου δ' αὐτὸν ἀτάκτως διώκοντος, ἐπιστραφεὶς, ἔκτεινεν ἐς ἑξακισχιλίους, καὶ τήν τε λείαν τὴν ἡρπασμένην καὶ τὸ οἰκεῖον στρατόπεδον ἀνεσώσατο, καὶ τὸ ῥωμαίων προσέλαβέ τε, καὶ διήρπασεν ὅπλα καὶ σημεῖα πολλά· ἅπερ οἱ βάρβαροι κατὰ τὴν κελτιβηρίαν ὅλην περιφέροντες, ἐπετώθαζον. Μούμμιος δ' ὑπὸ λοίποις ἔχων πεντακισχιλίοις, ἐγύμναζεν ἔνδον ἐν τῷ στρατοπέδῳ, δεδιὼς ἄρα προσελθεῖν ἐς τὸ πεδίον, πρὶν τοὺς ἄνδρας ἀναθαρρῆσαι. φυλάξας δὲ ἐπὶ μέρος οἱ βάρβαροι τῆς ἀφῃρημένης λείας παρέφερον, ἀδοκήτως αὐτοῖς ἐπέθετο· καὶ πολλοὺς διαφθείρας, ἔλαβε τήν λείαν, καὶ τὰ σημεῖα. λυσιτανῶν δ' οἱ ἐπὶ θάτερα τοῦ τάγου ποταμοῦ, κἀκεῖνοι ῥωμαίοις πεπολεμωμένοι, Καυκαίνου σφῶν ἡγουμένου, κουνέους ἐπόρθουν, οἳ ῥωμαίοις ἦσαν ὑπήκοοι, καὶ πόλιν αὐτῶν μεγάλην εἷλον κουνίστοργιν· παρά τε τὰς στήλας τὰς ἡρακλείους τὸν ὠκεανὸν ἐπέρων. καὶ οἱ μὲν τὴν ἄλλην λιβύην κατέτρεχον, οἱ δ' ὄκιλην πόλιν ἐπολιόρκουν. Μούμμιος δ' ἑπόμενος ἑνακισχιλίοις πεζοῖς καὶ ἱππεῦσι πεντακοσίοις, ἔκτεινε τῶν μὲν δῃούντων, ἐς μυρίους καὶ πεντακισχιλίους, τῶν δ' ἑτέρων τινάς· καὶ τὴν πολιορκίαν διέλυσε τὴν ὀκίλης. ἐντυχὼν δὲ καὶ τοῖς φέρουσιν ἃ ἐσυλήκεσαν, ἔκτεινε καὶ τούσδε πάντας, ὡς μηδ' ἄγγελον ἀπὸ τοῦ κακοῦ διαφυγεῖν. τὴν δὲ λείαν διαδοὺς τῷ στρατῷ, τὴν δυνατὴν φέρεσθαι, τὰ λοιπὰ τοῖς θεοῖς τοῖς ἐνυαλίοις ἔκαυσε. καὶ Μούμμιος μὲν τάδε πράξας, ἐπανῆλθεν ἐς ῥώμην, καὶ ἐθριάμβευσεν. ἐκδέχεται δ' αὐτὸν Μάρκος Ατίλιος· ὃς λυσιτανῶν μὲν ἐς ἑπτακοσίους ἐπιδραμὼν ἀπέκτεινε, καὶ τὴν μεγίστην πόλιν ἐξεῖλεν ᾗ ὄνομα ὀξθράκαι· τὰ δ' ἐγγὺς καταπληξάμενος ἅπαντα ἐπὶ συνθήκαις παρέλαβε. καὶ τούτων ἦν ἔνια τοῦ οὐετώνων ἔθνους,

ἐμόρου τοῖς λυσιτανοῖς. ὡς δ᾽ ἀνεζεύγνυε χειμάσων ὁ Ἀπίλιος, αὐτίκα πάντες μετεπήδησαν. καὶ τινας ῥωμαίοις ὑπηκόοις ἐπολιόρκουν· οὓς ἐπειγόμενος ἐξελεῖν τῆς πολιορκίας Σερβίλιος Γάλβας ὁ Ἀπιλίου διάδοχος, ἡμέρα μιᾷ καὶ νυκτὶ πεντακοσίους σταδίους διελθών, ἐπιφαίνεται τοῖς λυσιτανοῖς· καὶ αὐθὺς ἐς μάχην ἐξέτασσε, κατάκοπον τὸν στρατὸν ἔχων. τρεψάμενος δ᾽ εὐτυχῶς τοὺς πολεμίους, ἐπέκειτο φεύγουσιν ἀπειροπολέμως. ὅθεν ἀσθενοῦς αὐτῷ καὶ ἀσυντάκτου τῆς διώξεως οὔσης, διὰ κόπον, οἱ βάρβαροι κατιδόντες αὐτοὺς διεσπασμένους καὶ ἀναπαυομένους, κατὰ μέρη συνελθόντες ἐπέθεντο, καὶ κτείνουσιν ἐς ἑπτακισχιλίους. ὁ δὲ Γάλβας μετὰ τῶν ἀμφ᾽ αὐτὸν ἱππέων κατέφυγεν ἐς καρμήλην πόλιν· ἔνθα τοὺς διαφυγόντας ἀνελάμβανε, καὶ συμμάχους ἀθροίσας ἐς δισμυρίους, διῆλθεν ἐς κονέους, καὶ παρεχείμαζεν ἐν κούνι. Λούκουλλος δ᾽ ὁ τοῖς οὐακκαίοις ἄνευ ψηφίσματος πολεμήσας, ἐν τυρδιτανίᾳ τότε χειμάζων, ᾔσθετο λυσιτανῶν ἐς τὰ πλησίον ἐμβαλόντων· καὶ ἐπιπέμψας τοὺς ἀρίστους τῶν ἡγεμόνων, ἔκτεινε τῶν λυσιτανῶν ἐς τετρακισχιλίους, περί τε γάδειρα τὸν πορθμὸν, ἑτέρων περώντων, ἔκτεινεν ἐς χιλίους καὶ πεντακοσίους, καὶ τοὺς λοιποὺς συμφυγόντας εἴς τινα λόφον, ἀπετάφρευσε· πλῆθός τε ἔλαβεν ἀνδρῶν ἄπειρον· καὶ τὴν λυσιτανίαν ἐπιὼν κατὰ μέρος ἐπόρθει. ἐπόρθει δὲ καὶ ὁ Γάλβας ἐπὶ θάτερα· καὶ τινων πρεσβευομένων ἐς αὐτὸν, καὶ θελόντων βεβαιοῦν καὶ ὅσα Ἀπιλίῳ τῷ πρὸ αὐτοῦ στρατηγῷ συνθέμενοι παρεβεβήκεσαν, ἐδέχετο, καὶ ἐσπένδετο· καὶ ὑπεκρίνατο αὐτοῖς καὶ συνάχθεσθαι, ὡς δι᾽ ἀπορίαν λῃστεύουσί τε καὶ πολεμοῦσι καὶ παρεσπονδηκόσι. τὸ γὰρ λυπρόγεων, ἔφη, καὶ πενιχρὸν ὑμᾶς ἐς ταῦτα ἀναγκάζει. δώσω δ᾽ ἐγὼ πενομένοις

φίλοις γῆν ἀγαθὴν, καὶ ἐν ἀφθόνοις συνοικιῶ, διελὼν ἐς τρία. οἱ μὲν δὴ, τάδε προσδοκῶντες, ἀπὸ τῶν ἰδίων ἀνίσταντο, καὶ συνῄεσαν οἷ προσέτασσεν ὁ Γάλβας. ὁ δὲ αὐτοὺς ἐς τρία διῄρει· καὶ πεδίον ἑκάστοις τι ὑποδείξας, ἐκέλευεν ἐν τῷ πεδίῳ περιμένειν, μέχρι πολισθεὶς αὐτοὺς ἐπελθών. ὡς δὲ ἧκεν ἐπὶ τοὺς πρώτους, ἐκέλευεν, ὡς φίλοις, θέσθαι τὰ ὅπλα· θεμένους δὲ ἀπετάφρευσέ τε, καὶ μετὰ ξιφῶν τινὰς ἐσπέμψας, ἀνεῖλεν ἅπαντας, ὀδυρομένους τε καὶ θεῶν ὀνόματα καὶ πίστεις ἀνακαλοῦντας. τῷ δὲ αὐτῷ τρόπῳ καὶ τοὺς δευτέρους καὶ τρίτους ἐπειχθεὶς ἀνεῖλεν, ἀγνοοῦντας ἔτι τὰ πάθη τὰ τῶν προτέρων· ἄπιστα μὲν ἄρα ἀπιστίαν μετιών, οὐκ ἀξίως δὲ ῥωμαίων, μιμούμενος βαρβάρους. ὀλίγοι δὲ αὐτῶν διέφυγον· ὧν ἦν Οὐρίαθος, ὃς μετ' οὐ πολὺ ἡγήσατο λυσιτανῶν, καὶ ἔκτεινε πολλοὺς ῥωμαίων, καὶ ἔργα μέγιστα ἐπεδείξατο. ἀλλὰ τάδε μὲν, ὕστερον γενόμενα, ὕστερον λέξω· τότε δὲ ὁ Γάλβας, Λουκούλλου φιλοχρηματώτερος ὤν, ὀλίγα μὲν τινα τῆς λείας τῇ στρατιᾷ διεδίδου καὶ ὀλίγα τοῖς φίλοις, τὰ λοιπὰ δὲ ἐσφετερίζετο, καίτοι πλουσιώτατος ὢν ὁμοῦ τι ῥωμαίων. ἀλλ' οὐδὲ ἐν τῇ εἰρήνῃ φασὶν αὐτὸν διαλιπεῖν ψευδόμενόν τε καὶ ἐπιορκοῦντα διὰ κέρδη· μισούμενος δὲ καὶ κατηγορούμενος, διέφυγε διὰ τὸν πλοῦτον. οὐ πολὺ δὲ ὕστερον ὅσοι διέφυγον ἐκ τῆς Λουκούλλου καὶ Γάλβα παρανομήσεως, ἀλισθέντες ἐς μυρίους, τὴν τυρδιτανίαν κατέτρεχον. καὶ αὐτοῖς ἀπὸ ῥώμης ἐπελθὼν Γάϊος Οὐετίλιος, ἄγων τέ τινα στρατὸν ἄλλον καὶ τοὺς ἐν ἰβηρίᾳ προσλαβών, ἅπαντας ἔχων ἐς μυρίους, ἐπέπεσε προνομεύουσι· καὶ πολλοὺς ἀνελών, συνέωσε τοὺς λοιποὺς ἔς τι χωρίον οἷ κινδυνεύειν τε μένοντας ἐχρῆν ὑπὸ λιμοῦ, καὶ ἀπιόντας, ὑπὸ ῥωμαίων. ὧδε τὸ ῥεῖχε δυσχωρίας. καὶ διὰ τοῦτο πρέσβεις ἐς τὸν Οὐετίλιον ἔπεμπον σὺν ἱκετηρίαις, γῆν ἐς συνοικισμὸν αἰτοῦντες, ὡς ἀπὸ τοῦδε ἐσόμενοι ῥωμαίων ἐς πάντα κατήκοοι. ὁ δὲ

κοοι. ὁ δὲ ὑπισχνεῖτο δώσειν, καὶ συνετίθετο ἤδη. Οὐείαθος δὲ ἐκ τῆς Γάλβα παρανομίας ἐκφυγὼν, τότε συνὼν αὐτοῖς, ὑπεμίμνησκε τῆς ῥωμαίων ἀπιστίας, ὁσάκις τε αὐτοῖς ὀμόσαντες ἐπιθοῖντο· καὶ ὡς ὅδε πᾶς ὁ στρατὸς ἐκ τοιῶνδε ἐπιορκιῶν Γάλβα καὶ Λουκούλλου διαφύγοιεν· οὐ δὴ ἀπορεῖν ἔφη σωτηρίας ἀπὸ τοῦδε τοῦ χωρίου, ἂν ἐθέλωσι πείθεσθαι. ἐρεθισθέντων δὴ αὐτῶν, καὶ ἐν ἐλπίσι γινομένων, ᾑρέθη τε στρατηγὸς, καὶ πάντας ἐκτάξας ἐς μέτωπον ὡς ἐπὶ μάχῃ, τοὺς μὲν δὴ ἐκέλευσεν, ὅταν αὐτὸς ἐπιβῇ τοῦ ἵππου, διαιρεθέντας ἐς μέρη πολλὰ, φεύγειν ὡς δύναιντο κατ' ἄλλας καὶ ἄλλας ὁδοὺς, ἐς Τριβόλαν πόλιν· ἔνθα αὐτὸν περιμένειν· χιλίους δὲ μόνους ἐπιλεξάμενος, ἐκέλευσεν αὑτῷ συνίστασθαι. καὶ γιγνομένων τούτων, οἱ μὲν, εὐθὺς ἔφυγον, ἐπειδὴ ὁ Οὐείαθος τὸν ἵππον ἀνέβη· ὁ δὲ Οὐετίλιος αὐτοὺς δείσας διώκειν, ἐς πολλὰ διῃρημένους, ἐπὶ τὸν Οὐείαθον ἑστῶτα καὶ ἐφεδρεύοντα τῷ γινομένῳ τραπεὶς, ἐμάχετο. ὁ δὴ ὠκυτάτοις ἵπποις αὐτὸν ἐνοχλῶν, καὶ ὑποφεύγων, καὶ πάλιν ἱστάμενος, καὶ ἐπιὼν, ἐκείνην τε τὴν ἡμέραν ἐν τῷ αὐτῷ πεδίῳ καὶ τὴν ἐπιοῦσαν ὅλην διέτριψε περιθέων. ὡς δ' εἴκασεν ἀσφαλῶς ἔχειν τῆς φυγῆς τοὺς ἑτέρους, τότε νυκτὸς ὁρμήσας δι' ὁδῶν ἀτρίβων, κουφοτάτοις ἵπποις ἀπέδραμεν ἐς Τριβόλαν, ῥωμαίων αὐτὸν διώκειν ὁμοίως οὐ δυναμένων, διά τε βάρος ὅπλων καὶ ἀπειρίαν ὁδῶν καὶ ἵππων ἀνομοιότητα. ὧδε μὲν ἐξ ἀέλπτου στρατὸν ἀπογιγνώσκοντα αὐτοῦ περιέσωσε, καὶ τὸ στρατήγημα τόδε περιφερόμενον ἐς τοὺς τῇδε βαρβάρους ἐξῆρεν αὐτόν· καὶ πολλοὶ πανταχόθεν αὐτῷ προσεχώρουν. ὁ δὲ ἐς τρία ἔτη ῥωμαίοις ἐπολέμει. καί μοι δοκεῖ τὸν Οὐείαθον πόλεμον σφόδρα τε ἐνοχλήσαντα ῥωμαίοις, καὶ δυσεργότατον αὐτοῖς γενόμενον συναγαγεῖν, ἀναθέμενον εἰπεῖν τοῦ αὐτοῦ χρόνου περὶ ἰβηρίαν ἄλλο ἐγίγνετο. Οὐετίλιος μὲν δὴ αὐτὸν διώκων, ἦλθεν ἐπὶ τὴν Τριβόλαν· ὁ δὴ Οὐείαθος ἐν λόχμαις ὑπερελθόντος τοῦ Οὐετι-

λίου, αὐτός τε ἐπεστρέφετο, καὶ οἱ ἐκ τῆς ἐνέδρας ἀνεπήδων καὶ ῥωμαίους ἑκατέρωθεν ἔκτεινόν τε καὶ ἐζώγρουν, καὶ ἐς τὰς φάραγγας ἐώθουν. ἐζωγρήθη δὲ καὶ ὁ Οὐετίλιος· καὶ αὐτὸν ὁ λαβὼν ἀγνοῶν, γέροντα ὑπέρπαχυν ὁρῶν, ἔκτεινεν, ὡς οὐδενὸς ἄξιον. ῥωμαίων δὲ μόλις ἐκ μυρίων ἑξακισχίλιοι διέδρασαν ἐς Καρπησσὸν ἐπὶ θαλάσσῃ πόλιν, ἣν ἐγὼ νομίζω πρὸς ἑλλήνων πάλαι Ταρτησσὸν ὀνομάζεσθαι, καὶ Αργανθώνιον αὐτῆς βασιλεῦσαι, ὃν ἐς πεντήκοντα καὶ ἑκατὸν ἔτη ἀφικέσθαι φασί. τοὺς μὲν οὖν ἐς τὴν καρπησσὸν διαφυγόντας ὁ ταμίας ὃς εἵπετο τῷ Οὐετιλίῳ, συνέτασσεν ἐπὶ τειχῶν δεδιότας· παρὰ δὲ βελλῶν καὶ τίτθων αἰτήσας πεντακισχιλίους συμμάχους, καὶ λαβὼν, προὔπεμψεν ἐπὶ τὸν Οὐρίατθον. ὁ δὲ πάντας ἔκτεινεν, ὡς μηδ' ἄγγελον διαφυγεῖν. καὶ ὁ ταμίας ἡσύχαζεν ἐν τῇ πόλει, περιμένων τινὰ βοήθειαν ἀπὸ ῥώμης. Οὐρίατθος δὲ τὴν καρπητανίαν, εὐδαίμονα χώραν, ἐπιὼν ἀδεῶς ἐλεηλάτει, ἕως ἧκεν ἐκ ῥώμης Γάϊος Πλαύτιος, ἄγων πεζοὺς μυρίους καὶ ἱππέας χιλίους ἐπὶ τριακοσίοις. τότε δ' αὖθις ὑπεκρίνατο φυγὴν ὁ Οὐρίατθος· καὶ ὁ Πλαύτιος αὐτὸν ἔπεμψε διώκειν ἐς τετρακισχιλίους· οὓς ἐπιστραφεὶς ὁ Οὐρίατθος ἔκτεινε, χωρὶς ὀλίγων. καὶ τὸν Τάγον ποταμὸν διαβὰς, ἐστρατοπέδευεν ἐν ὄρει περιφύτῳ μὲν ἐλάαις, ἀφροδίτης δ' ἐπωνύμῳ. ἔνθα ὁ Πλαύτιος καταλαβὼν, καὶ τὸ πταῖσμα ἀναλαβεῖν ἐπειγόμενος, συνέβαλεν. ἡττηθεὶς δὲ, φόνῳ πολλοῦ γιγνομένου, διέφυγεν ἀκόσμως ἐς τὰς πόλεις, καὶ ἐκ μέσου θέρους ἐχείμαζεν, οὐ θαρρῶν οὐδαμοῦ προσιέναι. ὁ δ' Οὐρίατθος τὴν χώραν ἀδεῶς περιϊὼν, ᾔτει τοὺς κεκτημένους τιμὴν τοῦ ἐπικειμένου καρποῦ· καὶ παρ' ὧν μὴ λάβοι, διέφθειρεν. ὧν οἱ ἐν ἄστει ῥωμαῖοι πυνθανόμενοι, Φάβιον Μάξιμον Αἰμιλιανὸν, Αἰμιλίου Παύλου τοῦ Περσέα τὸν μακεδόνων βασιλέα ἀνελόντος υἱὸν, ἔπεμπον ἐς ἰβηρίαν· καὶ στρατιὰν ἑαυτῷ καταγράφειν ἐπέτρεπον. ὁ δὲ, ῥωμαίων ἄρτι καρχηδόνα καὶ τὴν

ἑλλάδα ἑλόντων, καὶ τὸν τρίτον ἐν μακεδονίᾳ πόλεμον κατωρθωκότων, φειδοῖ τῶν ἀνδρῶν, τῶν ἐκεῖθεν ἐληλυθότων κατέλεγε προθυμίας, οὐ πρὶν πολέμου πεπειραμένους, ἐς δύο τέλη. καὶ παρὰ τῶν συμμάχων στρατὸν ἄλλον αἰτήσας, ἧκεν ἐς ὀρσῶνα τῆς ἰβηρίας, σύμπαντας ἔχων πεζοὺς μυρίους καὶ πεντακισχιλίους, καὶ ἱππέας ἐς δισχιλίους. ὅθεν οὔπω μάχης ἄρχων, μέχρι τὴν στρατιὰν γυμνάσειεν, ἐς γάδειρα διέπλευσε τὸν πορθμόν, Ἡρακλεῖ θύσων. ὁ δὲ Οὐρίαθος αὐτοῦ τῶν ξυλευομένων τισὶν ἐπιπεσὼν, ἔκτεινε πολλοὺς, καὶ ἐφόβησε τοὺς λοιπούς. τοῦ δ' ὑποστρατήγου συντάξαντος αὐτοὺς, αὖθις ὁ Οὐρίαθος ἐκράτει, καὶ πολλὴν λείαν περιεσύρατο· ἀφικομένου τε τοῦ Μαξίμου, συνεχῶς ἐξέτασε προκαλούμενος. ὁ δὲ ὅλῳ μὲν οὐ συνεμίσγετο τῷ στρατῷ, γυμνάζων αὐτὸν ἔτι, κατὰ δὲ μέρη πολλάκις ἠκροβολίζετο, πεῖραν τε ποιούμενος τῶν πολεμίων καὶ τοῖς ἰδίοις ἐντιθεὶς θάρσος· χορτολογῶν τε, ἐνόπλους ἀεὶ τοῖς γυμνοῖς περιΐστη, καὶ περιέτρεχε μεθ' ἱππέων αὐτούς· οἷα, Παύλῳ τῷ πατρὶ συστρατευόμενος ἐν μακεδόσιν, ἑώρα. μετὰ δὲ χειμῶνα γεγυμνασμένῳ τῷ στρατῷ τρέπεται δεύτερος ὅδε τὸν Οὐρίαθον, καλῶς ἀγωνισάμενον· καὶ πόλεις αὐτοῦ δύο, τὴν μὲν διήρπασεν, τὴν δὲ ἐνέπρησεν· αὐτόν τε φεύγοντα ἐς χωρίον ᾧ ὄνομα τὸ βαικόρ, διώκων, ἔκτεινε πολλούς· καὶ ἐχείμαζεν ἐν κορδύβῃ. ἐφ' οἷς ὁ Οὐρίαθος οὐχ ὁμοίως ἔτι καταφρονῶν, ἀρουάκκους καὶ τίττους καὶ βελλοὺς ἔθνη μαχιμώτατα, ἀπέστησεν ἀπὸ ῥωμαίων. καὶ πόλεμον ἄλλον οἵδε ἐφ' ἑαυτῶν ἐπολέμουν, ὃν ἐκ πόλεως αὐτῶν μιᾶς νομαντῖνον ἡγοῦνται, μακρόν τε καὶ ἐπίπονον ῥωμαίοις γενόμενον· καὶ συνάξω καὶ τόνδε ἐς ἕν, μετὰ Οὐρίαθον. Οὐρίαθος μὲν ἐπὶ θάτερα τῆς ἰβηρίας ἑτέρῳ στρατηγῷ ῥωμαίων Κοΐντῳ συνεπλέκετο· καὶ ἡσσώμενος, ἐς τὸ ἀφροδίσιον ὄρος ἀνέστρεφεν· ὅθεν ἐπιστραφεὶς ἔκτεινε τοὺς Κοΐντου

χιλίους, καὶ σημεῖα τινὰ ἥρπασε· τοὺς δὲ λοιποὺς ἐς τὸ στρατόπεδον αὐτῶν συνεδίωξεν, καὶ τὴν ἐν Ἰτύκῃ φρουρὰν ἐξέβαλε, καὶ τὴν βαστιτανῶν χώραν ἐληΐζετο, Κοΐντου διὰ δειλίαν καὶ ἀπειρίαν οὐκ ἐπιβοηθοῦντος, ἀλλ' ἐν Κορδύβῃ χειμάζοντος, ἐκ μέσου μετοπώρου, καὶ Γάϊον Μάρκιον θαμινὰ ἐπιπέμποντος αὐτῷ, ἄνδρα Ἴβηρα ἐκ πόλεως Ἰταλικῆς. τοῦ δ' ἐπιόντος ἔτους, Κοΐντῳ μὲν ὁ ἀδελφὸς Αἰμιλιανοῦ Φάβιος Μάξιμος Αἰμιλιανὸς ἦλθεν ἐπὶ τὴν στρατηγίαν διάδοχος, δύο ἄλλα τέλη ῥωμαίων ἄγων, καὶ συμμάχους τινάς, ἅπαντας, ἐς μυρίους καὶ ὀκτακισχιλίους πεζούς, καὶ ἱππέας ἑξακοσίους ἐπὶ χιλίοις· ἐπιστείλας δὲ καὶ Μικίψῃ τῷ νομάδων βασιλεῖ πέμψαι οἱ τάχιστα ἐλέφαντας, ἐς Ἰτύκην ἠπείγετο, τὴν στρατιὰν ἄγων κατὰ μέρος, καὶ τὸν Οὐρίαθον ἑξακισχιλίοις ἀνδράσιν ἐπιόντα οἱ μετά τε κραυγῆς καὶ θορύβου βαρβαρικοῦ καὶ κόμης μακρᾶς· ἣν ἐν τοῖς πολεμίοις ἐπισείουσι τοῖς ἐχθροῖς· οὐδὲν ὑποπτήξας ὑπέστη τε γενναίως, καὶ ἀπεώσατο ἄπρακτον. ὡς δέ οἱ καὶ τὸ ἄλλο πλῆθος ἀφῖκτο, καὶ ἐκ λιβύης ἐλέφαντες δέκα, σὺν ἱππεῦσι τριακοσίοις, στρατόπεδον ὠχύρου μέγα, καὶ προσεπεχείρει τῷ Οὐριάθῳ, καὶ τρεψάμενος αὐτὸν ἐδίωκεν. ἀτάκτου δὲ τῆς διώξεως γενομένης, ἰδὼν ἐν τῇ φυγῇ τοῦτο ὁ Οὐρίαθος, ἐπανῆλθε, καὶ κτείνας ἐς τρισχιλίους, τοὺς λοιποὺς συνήλασεν ἐς τὸ στρατόπεδον, καὶ προσέβαλε καὶ τῷδε ὀλίγων, μόλις αὐτῶν ὑφισταμένων περὶ τὰς πύλας· τῶν δὲ πλεόνων, ἐς τὰς σκηνὰς καταδυομένων ὑπὸ δέους, καὶ μόλις ὑπὸ τοῦ στρατηγοῦ καὶ τῶν χιλιάρχων ἐξαγομένων. τότε μὲν οὖν Φάννιός τε ὁ Λαιλίου κηδεστής, λαμπρῶς ἠρίστευε, καὶ νὺξ ἐπελθοῦσα ῥωμαίους περιέσωσεν. ὁ δὲ Οὐρίαθος ἢ νυκτὸς ἢ καύματος ὥρα θαμινὰ ἐπιὼν, καὶ οὔ τινα καιρὸν ἀδόκητον ἐκλείπων, ψιλοῖς ἀνδράσι καὶ ἵπποις ταχυτάτοις ἐνώχλει τοῖς πολεμίοις, μέχρι τὸν Σερουιλιανὸν ἐς Ἰτύκην ἀναστῆσαι. τότε δὲ ἤδη τροφὰς

τι ἄπρων ὁ Οὐρίαθος, καὶ τὸν στρατὸν ἔχων ἐλάττω, νυκτὸς ἐμπρήσας τὸ στρατόπεδον, ἐς λυσιτανίαν ἀνεχώρει· καὶ αὐτὸν ὁ Σερουιλιανὸς οὐ καταλαβών, ἐς βαιτυρίαν ἀνέβαλεν, καὶ πέντε πόλεις διήρπασεν αἳ τῷ Οὐριάθῳ συνεπεπράχεσαν. μετὰ δὲ τοῦτο ἐστράτευεν ἐς Κουνέους· ὅθεν ἐς λυσιτανοὺς ἐπὶ τὸν Οὐρίαθον αὖθις ἠπείγετο. καὶ αὐτῷ παροδεύοντι δύο λῄσταρχοι μετὰ μυρίων ἀνδρῶν ἐπιθέμενοι Κούριός τε καὶ Ἀπουλήιος ἐθορύβησαν, καὶ τὴν λείαν ἀφείλοντο. καὶ Κούριος μὲν ἐν τῷ ἀγῶνι ἔπεσεν· ὁ δὲ Σερουιλιανὸς τήν τε λείαν μετ᾽ οὐ πολὺ ἀνέλαβε, καὶ πόλεις εἷλεν εἰσκαδίαν τε καὶ γέμελλαν καὶ ὀβόλκολαν, φρουρουμένας ὑπὸ τοῦ Οὐριάθου· καὶ διήρπαζεν ἑτέρας· καὶ συνεγίνωσκεν ἄλλαις. αἰχμάλωτα δ᾽ ἔχων ἀμφὶ τὰ μύρια, πεντακοσίων μὲν ἀπέτεμεν τὰς κεφαλάς, τοὺς δὲ λοιποὺς ἀπέδοτο· καὶ ἐχείμαζε δεύτερον ἔτος ἤδη στρατηγῶν τοῦδε τοῦ πολέμου. καὶ τάδε μὲν ὁ Σερουιλιανὸς ἐργασάμενος, ἐς ῥώμην ἀπῇρε, διαδεξαμένου τὴν ἀρχὴν Κοΐντου Πομπηΐου Αὔλου. ὁ δὲ ἀδελφὸς αὐτοῦ Μάξιμος Αἰμιλιανὸς Κοννόβαν μὲν τινα λῄσταρχον ἑαυτὸν ἐγχειρίσαντα λαβών, καὶ φεισάμενος αὐτοῦ μόνου, τοὺς σὺν αὐτῷ πάντας ἐχειροκόπησεν. Οὐρίαθον δὲ διώκων, ἐρισάνην αὐτοῦ πόλιν ἀπετάφρευεν· ἐς ἣν ὁ Οὐρίαθος ἐσδραμὼν νυκτὸς, ἅμα ἕῳ τοῖς ἐργαζομένοις ἐπέκειτο· μέχρι τὰ σκαφεῖα ῥίψαντες, ἔφυγον· τήν τε ἄλλην στρατιὰν ἐκταχθεῖσαν ὑπὸ τοῦ Αἰμιλιανοῦ τρεψάμενος ὁμοίως Οὐρίαθος, ἐδίωκε, καὶ συνήλασεν ἐς κρημνούς, ὅθεν οὐκ ἦν τοῖς ῥωμαίοις διαφυγεῖν. Οὐρίαθος δὲ τὴν ἀτυχίαν οὐχ ὕβρισεν, ἀλλὰ νομίσας ἐν καλῷ θήσεσθαι τὸν πόλεμον ἐπὶ χάριτι λαμπρᾷ, συνετίθετο ῥωμαίοις, καὶ τὰς συνθήκας ὁ δῆμος ἐπεκύρωσεν, Οὐρίαθον εἶναι ῥωμαίων φίλον, καὶ τοὺς ὑπ᾽ αὐτῷ πάντας ἧς ἔχουσι γῆς ἄρχειν. ὧδε μὲν ὁ Οὐριάθου πόλεμος ἐδό-

κεὶ πεπαῦσθαι, χαλεπώτατός τε Ῥωμαίοις γενόμενος καὶ ἐπὶ εὐεργεσίᾳ καταλυθείς. οὐ μὴν ἐπέμεινεν οὐδ' ἐς βραχὺ τὰ συγκείμενα. ὁ γὰρ ἀδελφὸς Αἰμιλιανοῦ τοῦ ταῦτα συνθεμένου Κεπίων, διάδοχος αὐτῷ τῆς στρατηγίας γενόμενος, διέβαλε τὰς συνθήκας, καὶ ἐπέστελλε Ῥωμαίοις ἀπρεπεστάτας εἶναι. καὶ ἡ βουλὴ τὸ μὲν πρῶτον αὐτῷ συνεχώρει κρύφα λυπεῖν τὸν Οὐρίαθον ὅ, τι δοκιμάσειεν. ὡς δ' αὖθις ἠνώχλει, καὶ συνεχῶς ἐπέστελλεν, ἔκρινε λῦσαί τε τὰς σπονδὰς καὶ φανερῶς πολεμεῖν αὖθις Οὐριάθῳ. ἐψηφισμένου δὴ σαφῶς, ὁ Κεπίων Ἄρσαν τε πόλιν ἐκλείποντος Οὐριάθου παρέλαβε, καὶ αὐτὸν Οὐρίαθον φεύγοντά τε καὶ τὰ ἐν παρόδῳ φθείροντα περὶ Καρπητανίαν κατέλαβε, πολὺ πλέονας ἔχων. ὅθεν ὁ Οὐρίαθος οὐ δοκιμάζων αὐτῷ συμπλέκεσθαι, διὰ τὴν ὀλιγότητα, κατὰ μὲν ἕνα φάραγγα ἀφανῆ τὸ πλέον τοῦ στρατοῦ περιέπεμψεν ἀπιέναι, τὸ δὲ λοιπὸν αὐτὸς ἐκτάξας ἐπὶ λόφου, δόξαν παρεῖχε πολεμήσοντος· ὡς δ' ᾔσθετο τῶν προαπεσταλμένων ἐν ἀσφαλεῖ γεγονότων, ἐξίππευσεν ἐς αὐτοὺς μετὰ καταφρονήσεως, ὀξέως οὕτως ὡς μηδ' αἰσθέσθαι τοὺς διώκοντας ὅποι διέδραμεν. ὁ δὲ Κεπίων ἐς Οὐέττωνας καὶ Καλλαίκους τραπεὶς, τὰ ἐκείνων ἐδῄου, καὶ ζήλῳ τῶν ἔργων Οὐριάθου, τὴν Λυσιτανίαν λῃστήρια πολλὰ ἄλλα ἐπιτρέχοντα ἐπόρθει. Σέξτος δὲ Ἰούνιος Βροῦτος ἐπὶ ταῦτα πεμφθεὶς, ἀπέγνω μὲν αὐτὰ διώκειν διὰ χώρας μακρᾶς, ὅσην ὁ Τάγος τε καὶ Λήθης καὶ Δόριος καὶ Βαῖτις ποταμοὶ ναυσίποροι περιέχουσιν· (ὀξέως, οἷα δὴ λῃστήρια, μεθιπτάμενα, δυσεργὲς ἡγούμενος εἶναι καταλαβεῖν, καὶ αἰσχρὸν, οὐ καταλαβόντι· καὶ νικήσαντι, τὸ ἔργον οὐ λαμπρόν·) ἐς δὲ τὰς πόλεις αὐτῶν ἐτράπετο, δίκην τε λήψεσθαι προσδοκῶν, καὶ τῇ στρατιᾷ πολὺ κέρδος περιέσεσθαι, καὶ τοὺς λῃστὰς ἐς ἑκάστην, ὡς πατρίδα κινδυνεύουσαν, διαλυθήσεσθαι. ὁ μὲν δὴ ταῦτ' ἐνθυμούμενος, ἐδῄου τὰ ἐν ποσὶν ἅπαντα, συμμαχουμένων τοῖς ἀνδράσι τῶν γυναικῶν καὶ συναναιρουμένων,

καὶ οὔτινα φωνὴν οὐδὲ ἐν ταῖς σφαγαῖς ἀφιεισῶν. εἰσὶ δ' οἳ καὶ εἰς τὰ ὄρη μεθ' ὧν ἐδύναντο ἀνεπήδων· καὶ αὐτοῖς δεομένοις συνεγίγνωσκεν ὁ Βροῦτος, καὶ τὰ ὄντα ἐμερίζετο· καὶ τὸν δόριον περάσας, πολλὰ μὲν πολέμῳ κατέδραμε, πολλὰ δὲ παρὰ τῶν αὐτοὺς ἐκδιδόντων ὅμηρα αἰτήσας, ἐπὶ λήθην μετῄει, πρῶτος ὅδε ῥωμαίων ἐπινοῶν τὸν ποταμὸν τόνδε διαβῆναι. περάσας δὲ καὶ τόνδε, καὶ μέχρι νίμιος ἑτέρου ποταμοῦ προελθὼν, βρακάρων αὐτῷ φερομένην ἀγορὰν ἁρπασάντων, ἐστράτευεν ἐπὶ τοὺς βρακάρους, οἵ εἰσιν ἔθνος· καὶ ἅμα ταῖς γυναιξὶν ὡπλισμέναις καὶ οἵδε ἐμάχοντο, καὶ προθύμως ἔθνησκον· οὐκ ἐπιστρεφόμενος αὐτῶν οὐδεὶς, οὐδὲ τὰ νῶτα δεικνὺς, οὐδὲ φωνὴν ἀφιέντες. ὅσαι δὲ κατήγοντο τῶν γυναικῶν, αἱ μὲν αὑτὰς διεχρῶντο, αἱ δὲ καὶ τῶν τέκνων αὐτόχειρες ἐγίγνοντο, χαίρουσαι τῷ θανάτῳ μᾶλλον τῆς αἰχμαλωσίας. εἰσὶ δέ τινες τῶν πόλεων αἳ τότε μὲν τῷ Βρούτῳ προσετίθεντο, οὐ πολὺ δ' ὕστερον ἀφίσταντο. καὶ αὐτὰς ὁ Βροῦτος κατεστρέφετο αὖθις. ἐπὶ δὲ ταλάβριγα πόλιν ἰὼν, ἣ πολλάκις μὲν αὐτῷ συνετέθειτο, πολλάκις δὲ ἀποστᾶσα, ἠνώχλει, παρακαλούντων αὐτὸν καὶ τότε τῶν ταλαβρίγων καὶ διδόντων αὑτοὺς ἐς ὅ,τι χρῄζοι, πρῶτα μὲν τοὺς αὐτομόλους ῥωμαίων ᾔτει καὶ τὰ αἰχμάλωτα καὶ ὅπλα ὅσα εἶχον, καὶ ὅμηρα ἐπὶ τούτοις· εἶτ' αὐτοὺς ἐκέλευσε σὺν παισὶ καὶ γυναιξὶν ἐκλιπεῖν τὴν πόλιν. ὡς δὲ καὶ τοῦθ' ὑπέστησαν, τὴν στρατιὰν αὐτοῖς περιστήσας ἐδημηγόρει, καταλέγων ὁσάκις ἀποσταῖεν, καὶ ὅσους πολέμους πολεμήσειαν αὐτῷ. φόβον δὲ καὶ δόξαν ἐμφήνας βιασομένου τι δεινὸν, ἐπὶ τῶν ὀνειδῶν ἔληξε· καὶ τοὺς μὲν ἵππους αὐτῶν καὶ τὸν σῖτον καὶ χρήματα ὅσα κοινὰ ἦν, ἢ εἴ τις ἄλλη δημοσία παρασκευὴ, πάντα περιεῖλε, τὴν δὲ πόλιν αὖθις οἰκεῖν ἔδωκεν ἐξ ἀέλπτου. τοσάδε μὲν δὴ Βροῦτος στρατευσάμενος, ἐς ῥώμην ἀπῄει· καὶ αὐτὰ ἐς τὴν Οὐριάθου γραφὴν συνήγαγον, ἐν ᾧ αὐτῷ χρόνῳ διὰ τὴν ἐκείνου ζῆλον ὑπὸ λῃστηρίων ἄλλων ἀρξάμενα γίγνεται. Οὐρίαθος

δὲ Καιπίωνι περὶ συμβάσεων τοὺς πιστοτάτους αὐτῷ φίλους ἐπέπεμπεν, Αὔδακα καὶ Διτάλκωνα καὶ Μίνουρον, οἳ διαφθαρέντες ὑπὸ τοῦ Καιπίωνος δώροις τε μεγάλοις καὶ ὑποσχέσεσι πολλαῖς, ὑπέστησαν αὐτῷ κτενεῖν τὸν Οὐρίατθον. καὶ ἔκτειναν ὧδε. ὀλιγοϋπνότατος ἦν διὰ φροντίδα καὶ πόνους ὁ Οὐρίατθος, καὶ τὰ πολλὰ ἔνοπλος ἀνεπαύετο, ἵνα ἐξεγειρόμενος, εὐθὺς ἐς πάντα ἕτοιμος εἴη. τοῖς οὖν φίλοις ἐξῆν καὶ νυκτερεύοντι ἐντυγχάνειν. ᾧ δὴ καὶ τότε ἔθει οἱ περὶ τὸν Αὔδακα φυλάξαντες αὐτὸν, ἀρχομένου ὕπνου παρῆλθον ἐς τὴν σκηνὴν, ὡς δή τινος ἐπείγοντος, καὶ κτείνουσιν ὡπλισμένον ἐς τὴν σφαγήν· οὐ γὰρ ἦν ἄλλοθι. οὐδεμιᾶς δ᾽ αἰσθήσεως γενομένης διὰ τὴν τῆς πληγῆς εὐκαιρίαν, διέδρασαν ἐς Καιπίωνα, καὶ τὰς δωρεὰς ᾔτουν. ὁ δ᾽ αὐτίκα μὲν αὐτοῖς ἔδωκεν ἀδεῶς ἔχειν ὅσα ἔχουσι, περὶ δὲ ὧν ᾔτουν, ἐς Ῥώμην αὐτοὺς ἔπεμπεν. οἱ δὲ θεράποντες Οὐριάτθου, καὶ ἡ ἄλλη στρατιὰ, γενομένης ἡμέρας, ἀναπαύεσθαι νομίζοντες αὐτὸν, ἐθαύμαζον διὰ τὴν ἀήθειαν· μέχρι τινὲς ἔμαθον ὅτι νεκρὸς κέοιτο ἔνοπλος. καὶ εὐθὺς ἦν οἰμωγή τε καὶ πένθος ἀνὰ τὸ στρατόπεδον, ἀλγούντων τε ἐπ᾽ ἐκείνῳ, καὶ περὶ σφῶν δεδιότων, καὶ ἐνθυμουμένων ἐν οἵοις εἰσὶν κινδύνοις, καὶ οἵου στρατηγοῦ στεροῦνται. μάλιστα δὲ αὐτοὺς, ὅτι τοὺς δράσαντας οὐχ εὕρισκον, ὑπερήλγυνεν. Οὐρίατθον μὲν δὴ λαμπρότατα κοσμήσαντες, ἐπὶ ὑψηλοτάτης πυρᾶς ἔκαιον, ἱερεῖά τε πολλὰ ἐπέσφαττον αὐτῷ· καὶ κατὰ ἴλας οἵ τε πεζοὶ καὶ οἱ ἱππεῖς ἐν κύκλῳ περιθέοντες αὐτὸν ἔνοπλοι, βαρβαρικῶς ἐπῄνουν· μέχρι τε σβεσθῆναι τὸ πῦρ, παρεκάθηντο πάντες ἀμφ᾽ αὐτὸν, καὶ τῆς ταφῆς ἐκτελεσθείσης, ἀγῶνα μονομάχων ἀνδρῶν ἤγαγον ἐπὶ τοῦ τάφου. τοσοῦτον αὐτοῦ πόθον κατέλιπεν Οὐρίατθος, ἀρχικώτατος μὲν, ὡς ἐν βαρβάροις, γενόμενος, φιλοκινδυνώτατος δ᾽ ἐς ἅπαντα πρὸ ἁπάντων, καὶ ἰσομοιρότατος ἐν τοῖς κέρδεσιν.

οὐ γάρ ποτε πλέον ὑπέστη λαβεῖν, ἀεὶ παρακαλούντων. ὃ δὲ καὶ λάβοι, τοῖς ἀριστεύσασιν ἐδίδου. ὅθεν αὐτῷ δυσχερέστατον ἔργον καὶ οὐδενί πω στρατηγῶν ἁμαρτῶς ἐγγενόμενον, ἔτεσιν ὀκτὼ τοῦδε τοῦ πολέμου, παμμιγὴς στρατὸς ἀστασίαστος ἦν, καὶ κατήκοος ἀεί, καὶ ἐς τοὺς κινδύνους ὀξύτατος. τότε δὲ σφῶν Ταύταλον ἑλόμενοι στρατηγεῖν, ἐπὶ ζάκανθαν ἐφέροντο, ἣν Ἀννίβας καθελών, ἔκτισεν, καὶ ἀπὸ τῆς αὐτοῦ πατρίδος καρχηδόνα προσεῖπεν. ἀποκρουσθεῖσι δ' αὐτοῖς ἐκεῖθεν, καὶ τὸν βαῖτιν ποταμὸν περῶσιν ὁ Κεπίων ἐπέκειτο· μέχρι κάμνων ὁ Ταύταλος, αὐτόν τε καὶ τὴν στρατιὰν τῷ Κεπίωνι παρέδωκεν, ὡς ὑπηκόοις χρῆσθαι. ὁ δὲ ὅπλα τε αὐτοὺς ἀφείλετο ἅπαντα, καὶ γῆν ἔδωκεν ἱκανήν, ἵνα μὴ λῃστεύοιεν ἐξ ἀπορίας. ὁ μὲν δὴ Οὐειάθου πόλεμος ἐς τοῦτο ἐτελεύτα· ἐπάνεισι δ' ἐς τὸν οὐακκαίων καὶ νομαντίνων πόλεμον ἡ γραφή, οὓς Οὐείαθος μὲν ἠρέθισεν ἐς ἀπόστασιν, Κεκίλιος δ' αὐτοῖς Μέτελλος ἀπὸ ῥώμης ἐπιπεμφθεὶς μετὰ πλέονος στρατοῦ, οὐακκαίους μὲν ἐχειρώσατο σὺν ἐκπλήξει καὶ τάχει, θερίζουσιν ἐμπεσών· τερμαντία δ' αὐτῷ καὶ νομαντία ἔτι ἔλειπεν. ἦν δ' ἡ νομαντία ποταμοῖς δύο καὶ φάραγξιν ἀπόκρημνος, ὗλαι τε αὐτῇ πυκναὶ περιέκειντο, καὶ μία κάθοδος ἦν ἐς τὸ πεδίον, ἣ τάφρων ἐπεπλήρωτο καὶ στηλῶν· αὐτοὶ δ' ἦσαν ἄριστοι μὲν ἱππεῦς τε καὶ πεζοί, πάντες δ' ἀμφὶ τοὺς ὀκτακισχιλίους. καὶ τοσοίδε ὄντες, ὅμως ὑπ' ἀρετῆς ἐς μέγα ἠνώχλησαν τὰ ῥωμαίων. Μέτελλος μὲν δὴ μετὰ χειμῶνα τὴν στρατιὰν Κοΐντῳ Πομπηΐῳ Αὔλῳ διαδόχῳ τῆς στρατηγίας οἱ γενομένῳ παρέδωκεν, τρισμυρίοις πεζοῖς καὶ δισχιλίοις ἱππεῦσιν ἄριστα γεγυμνασμένους· ὁ δὲ Πομπήιος τῇ νομαντίᾳ παραστρατοπεδεύων ᾤχετό ποι· καὶ ἱππέας αὐτοῦ μεταθέοντας αὐτὸν οἱ νομαντῖνοι καταβάντες ἔκτειναν· ἐπανελθὼν οὖν παρέταξεν ἐς πεδίον, καὶ οἱ νομαντῖνοι καταβάντες ὑπεχώρουν κατ' ὀλίγον,

διαφυγόντες, μέχρι ταῖς στήλαις καὶ φάραγξιν ὁ Πομπήιος δὲ καθ' ἡμέραν ἐν ταῖς ἀκροβολίαις ἐλασσούμενος ὑπ' ἀνδρῶν πολὺ ἐλασσόνων, μετέβαινεν ἐπὶ τερμαντίαν, ὡς ἀχερέστερον ἔργον. ὡς δὲ καὶ τῇδε συμβαλὼν, ἑπτακοσίους τε ἀπώλεσε, καὶ τὸν τὴν ἀγορὰν αὐτῷ φέροντα χιλίαρχον οἱ τερμαντεῖς ἐτρέψαντο, καὶ τρίτῃ πείρᾳ κατὰ τὴν αὐτὴν ἡμέραν ἐς ἀπόκρημνα τοὺς ῥωμαίους συνελάσαντες, πολλοὺς αὐτῶν πεζούς τε καὶ ἱππέας αὐτοῖς ἵπποις κατέωσαν ἐς τὰ ἀπόκρημνα· περιφόβως ἔχοντες οἱ λοιποὶ διενυκτέρευον ἔνοπλοι· καὶ ἅμα ἕῳ προσιόντων τῶν πολεμίων, ἐκταξάμενοι, τὴν ἡμέραν ὅλην ἠγωνίζοντο ἀγχωμάλως, καὶ διεκρίθησαν ὑπὸ νυκτός. ὅθεν ὁ Πομπήιος ἐπὶ πολίχνης μαλίας ἤλασεν, ἣν ἐφρούρουν οἱ νομαντῖνοι. καὶ οἱ μαλιεῖς τοὺς φρουροὺς ἀνελόντες ἐξ ἐνέδρας, παρέδοσαν τὸ πολίχνιον τῷ Πομπηΐῳ. ὁ δὲ τά τε ὅπλα αὐτοὺς καὶ ὅμηρα αἰτήσας, μετῆλθεν ἐπὶ σηδητανίαν, ἣν ἐδῄου λῄσταρχος ὄνομα Ταγγῖνος· καὶ αὐτὸν ὁ Πομπήιος ἐνίκα, καὶ πολλοὺς ἔλαβεν αἰχμαλώτους. τοσοῦτον δ' ἦν φρονήματος ἐν τοῖς λῃσταῖς, ὥστε τῶν αἰχμαλώτων οὐδεὶς ὑπέμεινε δουλεύειν, ἀλλ' οἱ μὲν αὑτούς, οἱ δὲ τοὺς πριαμένους ἀνῄρουν, οἱ δὲ τὰς ναῦς ἐν τῷ διάπλῳ διετίτρων. ὁ δὲ Πομπήιος αὖθις ἐλάσας ἐπὶ νομαντίαν, ποταμόν τινα μετωχέτευεν ἐς τὸ πεδίον, ὡς λιμῷ πιέσων τὴν πόλιν. οἱ δὲ ἐργαζομένῳ τε ἐπέκειντο, καὶ σαλπικτῶν χωρὶς ἐκτρέχοντες ἀθρόοι, τοὺς ὀχετεύοντας ἠνώχλουν. ἔβαλλον δὲ καὶ τοὺς ἀπὸ τοῦ χάρακος ἐπιβοηθοῦντας, ἕως κατέκλεισαν ἐς τὸ στρατόπεδον. καὶ ἀπολογοῦσιν ἑτέροις ἐπιδραμόντες, καὶ τῶνδε πολλοὺς διέφθειραν, Ὀππιόν τε χιλίαρχον ἐπ' αὐτοῖς ἀνεῖλον· καὶ κατ' ἄλλο μέρος τάφρον ὀρύσσουσι ῥωμαίοις ἐπιδραμόντες, ἔκτειναν ἐς τετρακοσίους, καὶ τὸν ἡγούμενον αὐτῶν. ἐφ' οἷς τότε Πομπηΐῳ σύμβουλοι παρῆσαν ἐκ

ῥώμης, καὶ τοῖς στρατιώταις (ἓξ γὰρ ἔτη διελελύθει στρατευομένοις) διάδοχοι νεοκατάγραφοί τε καὶ ἔτι ἀγύμναστοι καὶ ἀπειροπόλεμοι. μεθ' ὧν ὁ Πομπήϊος αἰδούμενός τε τὰ ἐπταισμένα, καὶ ἐπειγόμενος τὴν αἰσχύνην ἀναλαβεῖν, ἐπέμενε χειμῶνος ἐν τῷ στρατοπέδῳ· καὶ οἱ στρατιῶται, κρύους τε ὄντος, ἐν ἀστέγῳ σταθμεύοντες, καὶ πρῶτον ἄρτι πειρώμενοι τοῦ περὶ τὴν χώραν ὕδατός τε καὶ ἀέρος, κατὰ γαστέρα ἔκαμνον, καὶ διεφθείροντο ἔνιοι. μέρους δὲ ἐπὶ σῖτον οἰχομένου, κρύψαντες ἐνέδραν οἱ νομαντῖνοι παρ' αὐτὸ τὸ ῥωμαίων στρατόπεδον, ἠκροβολίζοντο ἐρεθίζοντες· ἕως οἱ μὲν, οὐ φέροντες, ἐπεξῄεσαν, οἱ δ' ἐκ τῆς ἐνέδρας ἀνίσταντο· καὶ ῥωμαῖοι πολλοὶ μὲν ἐκ τοῦ πλήθους, πολλοὶ δὲ τῶν ἐπιφανῶν ἀπέθανον. οἱ δὲ νομαντῖνοι καὶ τοῖς τὸν σῖτον φέρουσιν ἀπαντήσαντες, ἔκτειναν καὶ τῶνδε πολλούς. καὶ ὁ Πομπήϊος τοσοῖσδε συνενεχθεὶς, ἐς τὰς πόλεις μετὰ τῶν συμβούλων ἀνεζεύγνυε, χειμάσων τὸ ἐπίλοιπον, τοῦ ἔαρος προσδοκῶν ἥξειν οἱ διάδοχον· καὶ δεδιὼς κατηγορίαν, ἔπρασσεν ἐς τοὺς νομαντίνους κρύφα τοῦ πολέμου διαλύσεις. οἱ δὲ, καὶ αὐτοὶ κάμνοντες ἤδη φόνῳ τε πολλῷ ἀρίστων, καὶ γῆς ἀργίᾳ, καὶ τροφῶν ἀπορίᾳ, καὶ μήκει τοῦ πολέμου, μακροῦ παρὰ προσδοκίαν γεγονότος, ἐπρέσβευον ἐς Πομπήϊον. ὁ δὲ ἐς μὲν τὸ φανερὸν ἐκέλευεν αὐτοὺς ῥωμαίοις ἐπιτρέπειν, (οὐ γὰρ εἰδέναι συνθήκας ἑτέρας ῥωμαίων ἀξίας) λάθρα δ' ὑπισχνεῖτο ἃ ἔμελλε ποιήσειν. καὶ συνθεμένων ἐκείνων, καὶ ἐπιτρεψάντων ἑαυτοὺς, ὅμηρά τε καὶ αἰχμάλωτα ᾔτησε, καὶ τοὺς αὐτομόλους καὶ πάντα ἔλαβεν· ᾔτησε δὲ καὶ ἀργυρίου τάλαντα τριάκοντα· ὧν μέρος αὐτίκα ἔδοσαν οἱ νομαντῖνοι, καὶ τὰ λοιπὰ ὁ Πομπήϊος ἀνέμενεν. παραγενομένου δὲ αὐτῷ διαδόχου Μάρκου Ποπιλίου Λαίνα, οἱ μὲν, ἔφερον τὰ λοιπὰ τῶν χρημάτων·

ὁ δ' ἀπηλλαγμένος μὲν τοῦ περὶ τοῦ πολέμου δέους, τῷ παρεῖναι τὸν διάδοχον, τὰς δὲ συνθήκας εἰδὼς αἰσχράς τε καὶ ἄνευ ῥωμαίων γινομένας, ἠρνεῖτο μὴ συνθέσθαι τοῖς νομαντίνοις. καὶ οἱ μὲν αὐτὸν ἤλεγχον ἐπὶ μάρτυσι τοῖς τότε παρατυχοῦσιν ἀπό τε βουλῆς καὶ ἱππάρχων καὶ χιλιάρχων αὐτοῦ Πομπηΐου· ὁ δὲ Ποπίλιος αὐτοὺς ἐς ῥώμην ἔπεμπε δικασομένους τῷ Πομπηΐῳ. κρίσεως δ' ἐν τῇ βουλῇ γενομένης, νομαντῖνοι μὲν καὶ Πομπήϊος ἐς ἀντιλογίαν ἦλθον, τῇ βουλῇ δ' ἔδοξε πολεμεῖν νομαντίνοις· καὶ Ποπίλιος ἐνέβαλεν ἐς τοὺς γείτονας αὐτῶν λούσονας. οὐδὲν δ' ἐργασάμενος, (ἧκε γὰρ αὐτῷ διάδοχος ἐπὶ τὴν στρατηγίαν Ὁστίλιος Μαγκῖνος) ἀνέζευξεν ἐς ῥώμην. ὁ δὲ Μαγκῖνος τοῖς νομαντίνοις συμβαλὼν, ἡττᾶτό τε πολλάκις, καὶ τέλος, ἀναιρουμένων πολλῶν, ἐς τὸ στρατόπεδον ἔφυγε. λόγου δὲ ψευδοῦς ἐμπεσόντος ὅτι νομαντίνοις ἔρχονται βοηθοῦντες καντάβροι τε καὶ οὐακκαῖοι, δείσας, ἄπυρον τὴν νύκτα διήγαγεν ὅλην ἐν σκότῳ, φεύγων ἐς ἔρημον τὸ Νωβελίωνός ποτε χαράκωμα. καὶ μεθ' ἡμέραν ἐς αὐτὸ συγκλεισθεὶς, οὔτε κατεσκευασμένον, οὔτε ὠχυρωμένον, περιελθόντων αὐτὸν νομαντίνων, καὶ πάντας ἀποκτείνειν ἀπειλούντων, εἰ μὴ σπείσαιτο εἰρήνην, συνέθετο ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ ῥωμαίοις καὶ νομαντίνοις. καὶ ὁ μὲν ἐπὶ τούτοις ὤμνυε τοῖς νομαντίνοις· οἱ δὲ ἐν ἄστει, πυθόμενοι, χαλεπῶς ἔφερον, ὡς ἐπὶ αἰσχίσταις πάνυ σπονδαῖς· καὶ τὸν ἕτερον τῶν ὑπάτων Αἰμίλιον Λέπιδον ἐς ἰβηρίαν ἐξέπεμπον, Μαγκῖνον δὲ ἀνεκάλουν ἐς κρίσιν. καὶ τῷδε μὲν εἵποντο πρέσβεις νομαντίνων· ὁ δ' Αἰμίλιος ἀναμένων καὶ ὅδε τὰς ἐκ ῥώμης ἀποκρίσεις, καὶ τὴν ἀργίαν οὐ φέρων, (ὡς γὰρ ἐπὶ δόξαν ἢ κέρδος ἢ θριάμβου φιλοτιμίαν ἐξῄεσαν τινὲς ἐς τὰς στρατηγίας, οὐκ ἐπὶ τὸ τῇ πόλει συμφέρον,) οὐακκαίων κατεψεύδετο, ὡς ἀγορὰν ἐν τῷδε τῷ πολέμῳ νομαντίνοις παρασχόντων, καὶ τὴν γῆν αὐτῶν

κατέτρεχε τὲ Παλαντίαν πόλιν, ἣ μεγίστη Οὐακκαίων ἐστὶν, οὐδὲν ἐξαμαρτοῦσαν ἐς τὰ συγκείμενα, ἐπολιόρκει· καὶ Βροῦτον ἐφ᾽ ἑτέρας τῆς Ἰβηρίας ἀπεσταλμένον, ὥς μοι προείρηται, κηδεστὴν ὄντα οἱ, τοῦδε τοῦ ἔργου μεταλαβεῖν ἔπεισε. καταλαβόντες δὲ αὐτοὺς ἀπὸ Ῥώμης πρέσβεις Κίννας τε καὶ Κεκίλιος· οἳ τὴν βουλὴν ἔφασαν ἀπορεῖν εἰ τοσῶνδε πταισμάτων σφίσιν ἐν Ἰβηρίᾳ γεγενημένων, ὁ Αἰμίλιος πόλεμον ἕτερον αἱρεῖται. καὶ ψήφισμα ἐπέδοσαν αὐτῷ, προαγορεῦον, Αἰμίλιον Οὐακκαίοις μὴ πολεμεῖν. ὁ δὲ, ἀρξάμενός τε ἤδη τοῦ πολέμου, καὶ τὴν βουλὴν τοῦτο ἀγνοεῖν ἡγούμενος, ἀγνοεῖν δ᾽ ὅτι τὲ Βροῦτος αὐτῷ συνεπιλαμβάνει, καὶ σῖτον καὶ χρήματα καὶ στρατιὰν Οὐακκαῖοι τοῖς Νομαντίνοις παρέσχον, ἔσεσθαι δὲ τὴν ἀνάζευξιν τοῦ πολέμου φοβερὰν ὑπολαβὼν, καὶ σχεδὸν Ἰβηρίας ὅλης διάλυσιν, εἰ καταφρονήσειαν ὡς δεδιότων, τοὺς μὲν ἀμφὶ τὸν Κίνναν, ἀπράκτους ἀπέλυσε, καὶ τάδε αὐτὰ ἐπέστελλε τῇ βουλῇ, αὐτὸς δὲ ὀχυρωσάμενος φρούριον, μηχανὰς ἐν αὐτῷ συνεπήγνυτο, καὶ σῖτον συνέφερε. Φλάκκος δ᾽ αὐτῷ σιτολογῶν ἐνέδρας ἐκφανείσης, ἀμηχάνως διέδωκεν ὅτι Παλαντίαν ἐξεῖλεν Αἰμίλιος. καὶ τοῦ στρατοῦ συναλαλάξαντος ὡς ἐπὶ νίκῃ, πυθόμενοι τούτων οἱ βάρβαροι, καὶ ἀληθῆ νομίσαντες, ἀπεχώρουν. Φλάκκος μὲν δὴ τὴν ἀγορὰν κινδυνεύουσαν ὧδε περιέσωζε· μακρᾶς δὲ τῆς ἐπὶ τῇ Παλαντίᾳ πολιορκίας οὔσης, αἱ τροφαὶ Ῥωμαίοις ἐπέλιπον· καὶ λιμὸς ἥπτετο αὐτῶν, καὶ τὰ ὑποζύγια πάντα ἔφθαρτο· καὶ πολλοὶ τῶν ἀνθρώπων ἐξ ἀπορίας ἀπέθνησκον. οἱ στρατηγοὶ δὲ Αἰμίλιός τε καὶ Βροῦτος ἐς μὲν πολὺ διεκαρτέρουν, ἡσσώμενοι δ᾽ ὑπὸ τοῦ κακοῦ, νυκτὸς ἄφνω περὶ ἐσχάτην φυλακὴν ἐκέλευον ἀναζευγνύναι· χιλίαρχοί τε καὶ λοχαγοὶ περιθέοντες ἐπέσπευδον ἅπαντας ἐς τοῦτο πρὸ ἕω· οἱ δὲ σὺν θορύβῳ τά τε ἄλλα πάντα καὶ τοὺς τραυματίας τὲ τοὺς νοσοῦν-

τας ἀπέλιπον, συμπλεκομένοις τε σφίσι καὶ δεομένοις. καὶ αὐτῆς ἀτάκτου καὶ θορυβώδους τῆς ἀναχωρήσεως γιγνομένης, καὶ φυγῇ μάλιστα ὁμοίας, οἱ παλαντῖνοι πανταχόθεν ἐπικείμενοι, πολλὰ ἔβλαπτον ἐξ ἠοῦς ἐπὶ ἑσπέραν. νυκτὸς δὲ ἐπιλαβούσης, ῥωμαῖοι μὲν ἐς τὰ πεδία ἑαυτοὺς ἐρρίπτουν ἀνὰ μέρος, ὡς τύχοιεν, ἄσιτοί τε καὶ κατάκοποι· οἱ δὲ παλαντῖνοι, θεοῦ σφᾶς ἀποτρέποντος, ἀνεχώρουν. καὶ τάδε μὲν ἦν περὶ τὸν Αἰμίλιον. ῥωμαῖοι δ' αὐτὰ πυθόμενοι, τὸν μὲν Αἰμίλιον παρέλυσαν τῆς στρατηγίας τε καὶ ὑπατείας, καὶ ἰδιώτης ἐς ῥώμην ὑπέστρεφεν, καὶ χρήμασιν ἐπεζημιοῦτο. Μαγκίνῳ δ' ἐδίκαζον καὶ τοῖς πρέσβεσι τοῖς νομαντίνων. οἱ μὲν δὴ τὰς συνθήκας ἃς ἐπεποίηντο πρὸς Μαγκῖνον, ἐπεδείκνυον· ὁ δὲ τὴν αἰτίαν αὐτῶν ἐς Πομπήϊον ἀνέφερεν, τὸν πρὸ αὐτοῦ γενόμενον στρατηγόν, ὡς ἀργὸν καὶ ἄπορον τὸν στρατὸν ἐγχειρίσαντά οἱ, καὶ δι' αὐτὸ κἀκεῖνον ἡσσημένον τε πολλάκις, καὶ συνθήκας ὁμοίας αὐτῷ θέμενον πρὸς τοὺς νομαντίνους. ὅθεν ἔφη καὶ τὸν πόλεμον τόνδε παρὰ τὰς συνθήκας ἐκείνας ὑπὸ ῥωμαίων ἐψηφισμένον, ἀπαίσιον αὐτοῖς γεγενέναι. οἱ δ' ἐχαλέπαινον μὲν ἀμφοτέροις ὁμοίως, ἀπέφυγε δὲ ὁμοίως Πομπήϊος, ὡς περὶ τῶνδε κριθεὶς καὶ πάλαι. Μαγκῖνον δ' ἔγνωσαν ἐκδοῦναι τοῖς νομαντίνοις, αἰσχρὰς σφῶν αἰσχρὰς συνθήκας πεποιημένον. ᾧ λόγῳ καὶ σαυνίταις οἱ πατέρες, ὅμοια χωρὶς αὐτῶν συνθεμένους, ἡγεμόνας εἴκοσιν ἐξεδεδώκεσαν. Μαγκῖνον μὲν δὴ Φρούριος ἀγαγὼν εἰς ἰβηρίαν, γυμνὸν παρεδίδου τοῖς νομαντίνοις· οἱ δὲ οὐκ ἐδέξαντο. στρατηγὸς δὲ ἐπ' αὐτοὺς αἱρεθεὶς Καλπούρνιος Πείσων, οὐδ' ἤλασεν ἐπὶ νομαντίαν, ἀλλ' ἐς τὴν παλαντίων γῆν ἐσβαλὼν, καὶ μικρὰ δῃώσας, ἐχείμαζεν ἐν καρπητανίᾳ τὸ ἐπίλοιπον τῆς ἀρχῆς. ἐν δὲ ῥώμῃ κάμνων ὁ δῆμος ἐπὶ τοῖς νομαντίνοις, μακροῦ καὶ δυσχεροῦς τοῦ πολέμου σφίσι παρὰ προσδοκίαν γεγονότος,

ᾑροῦντο Κορνήλιον Σκιπίωνα τὸν καρχηδόνα ἑλόντα, αὖθις ὑπατεύειν, ὡς μόνον ἐπικρατῆσαι τῶν νομαντίνων δυνάμενον. ὁ δὲ, καὶ τότε ἦν ἔτι νεώτερος τῆς νενομισμένης τοῖς ὑπατεύουσιν ἡλικίας· ἡ οὖν βουλὴ πάλιν, ὥσπερ ἐπὶ καρχηδονίοις αὐτοῦ χειροτονουμένου Σκιπίωνος, ἐψηφίσατο τοῖς δημάρχοις λῦσαι τὸν περὶ τῆς ἡλικίας νόμον, καὶ τοῦ ἐπιόντος ἔτους θέσθαι. οὕτω μὲν ὁ Σκιπίων αὖθις ὑπατεύων ἐς νομαντίαν ἠπείγετο· στρατιὰν δὲ κατὰ λόγον μὲν οὐκ ἔλαβεν, πολλῶν τε πολέμων ὄντων καὶ πολλῶν ἀνδρῶν ἐν ἰβηρίᾳ· ἐθελοντὰς δέ τινας ἔκ τε πόλεων καὶ βασιλέων ἐς χάριν ἰδίαν πεμφθέντας αὐτῷ, συγχωρούσης τῆς βουλῆς, ἐπηγάγετο, καὶ πελάτας ἐκ ῥώμης, καὶ φίλους πεντακοσίους· οὓς ἐς ἴλην καταλέξας, ἐκάλει φιλονίλην. πάντας δὲ ἐς τετρακισχιλίους γενομένους παραδοὺς ἄγειν ἀδελφιδῷ Βουτέωνι, σὺν ὀλίγοις αὐτὸς προεξώρμησεν ἐς ἰβηρίαν ἐπὶ τὸ στρατόπεδον, πυνθανόμενος αὐτὸ γέμειν ἀργίας καὶ στάσεων καὶ τρυφῆς. εὖ εἰδὼς ὅτι μὴ κρατήσει πολεμίων, πρὶν κατασχεῖν τῶν ἰδίων ἐγκρατῶς. ἐλθὼν δὲ, ἐμπόρους τε πάντας ἐξήλαυνε καὶ ἑταίρας καὶ μάντεις καὶ θύτας, οἷς, διὰ τὰς δυσπραξίας οἱ στρατιῶται περιδεεῖς γεγονότες, ἐχρῶντο συνεχῶς· ἔς τε τὸ μέλλον ἀπεῖπε, μηδὲν ἐσφέρεσθαι τῶν περισσῶν, μηδὲ ἱερεῖον ἐς μαντείαν πεποιημένον. ἐκέλευσε δὲ καὶ τὰς ἁμάξας καὶ τὰ περισσὰ τῶν ἐς αὐτὰς τιθεμένων, καὶ τὰ ὑποζύγια, χωρὶς ὧν αὐτὸς ὑπελείπετο, πραθῆναι. καὶ σκεῦος οὐκ ἐξῆν ἐς δίαιταν ἔχειν οὐδενὶ πλὴν ὀβελοῦ καὶ χύτρας χαλκῆς καὶ ἐκπώματος ἑνός. τά τε σιτία αὐτοῖς ὥριστο κρέα ζεστὰ καὶ ὀπτὰ εἶναι· κλίνας τε ἀπεῖπεν ἔχειν, καὶ πρῶτος ἐπὶ στιβάδων ἀνεπαύετο. ἀπεῖπεν δὲ καὶ ὁδεύοντας ἡμιόνοις ἐπικαθέζεσθαι. τί γὰρ ἐν πολέμῳ προσδοκᾶν, ἔφη, παρ' ἀνδρὸς οὐδὲ βαδίζειν δυναμένου; κἂν τοῖς ἀλείμμασι καὶ λουτροῖς

ἤλειφον. ἐπισκώπτοντος δὲ τοῦ Σκιπίωνος, ὡς ἡμίονοι χεῖρας οὐκ ἔχουσαι χρῄζουσι τριβόντων, οὕτω μὲν αὐτοὺς ἐς σωφροσύνην μετέβαλλεν ἀθρόως· εἴθιζεν δὲ καὶ ἐς αἰδῶ καὶ φόβον, δυσπρόσιτος ὢν, καὶ δυσχερὴς ἐς τὰς χάριτας, καὶ μάλιστα τὰς παρανόμους. ἔλεγέν τε πολλάκις, τοὺς μὲν αὐστηροὺς καὶ ἐννόμους τῶν στρατηγῶν, τοῖς οἰκείοις· τοὺς δὲ εὐχερεῖς καὶ φιλοδώρους, τοῖς πολεμίοις εἶναι χρησίμους. τὰ γὰρ στρατόπεδα τοῖς μὲν εἶναι κεχαρισμένα τε καὶ καταφρονητικὰ, τοῖς δὲ σκυθρωπὰ μὲν, εὐπειθῆ δὲ καὶ πᾶσιν ἕτοιμα. οὐ μὴν οὐδ᾽ ὣς ἐτόλμα πολεμεῖν, πρὶν αὐτοὺς γυμνάσαι πόνοις πολλοῖς. τὰ οὖν ἀγχοτάτω πεδία πάντα περιιὼν ἑκάστης ἡμέρας, ἄλλο μετ᾽ ἄλλο στρατόπεδον ἤγειρέ τε καὶ καθῄρει, καὶ τάφρους ὤρυσσε βαθυτάτας καὶ ἐνεπίμπλη· τείχη τε μεγάλα ᾠκοδόμει καὶ κατέφερεν, αὐτὸς ἐξ ἠοῦς ἐς ἑσπέραν ἅπαντα ἐφορῶν. τὰς δὲ ὁδοιπορείας, ἵνα μή τις, ὡς πάλαι, διασκιδνῷτο, ἦγεν ἐν πλινθίοις ἀεὶ, καὶ τὴν δεδομένην ἑκάστῳ τάξιν οὐκ ἦν ἐναλλάξαι. περιιών τε τὴν ὁδοιπορείαν, καὶ τὰ πολλὰ οὐραγῶν, τοὺς μὲν ἀρρωστοῦντας ἐπὶ τοὺς ἵππους ἀνεβίβαζεν, ἀντὶ τῶν ἱππέων, τὰ δὲ βαροῦντα τὰς ἡμιόνους, ἐς τοὺς πεζοὺς διεμέριζεν. εἰ δὲ σταθμεύοι, τοὺς μὲν προφύλακας τῆς ἡμέρας ἐκ τῆς ὁδοιπορείας ἔδει περὶ τὸν χάρακα ἵστασθαι, καὶ ἱππέων ἑτέραν ἴλην περιτρέχειν· οἱ δ᾽ ἄλλοι τὰ ἔργα διῄρηντο, καὶ τοῖς μὲν ταφρεύειν ἐτέτακτο, τοῖς δὲ τειχίζειν, τοῖς δὲ σκηνοποιεῖν· χρόνου τε μῆκος ὡρίζετο αὐτοῖς καὶ διεμετρεῖτο. ὅτε δ᾽ εἴκασεν ὀξὺ καὶ εὐπειθὲς αὐτῷ καὶ φερεπόνον γεγονέναι τὸ στράτευμα, μετέβαινεν ἀγχοῦ τῶν νομαντίνων. προφύλακας δὲ, ὥσπερ τινές, ἐπὶ φρουρίων οὐκ ἐποιεῖτο, οὐδὲ διῄρει ποι τὸν στρατὸν ὅλως, τοῦ μή τινος ἐν ἀρχῇ γενομένου πταίσματος, εὐκαταφρόνητον τοῖς πολεμίοις αὐτὸν γενέσθαι. καὶ τέως καταφρονοῦσιν οὐδὲ ἐπεχείρει τοῖς ἐχθροῖς, ἔτι περισκοπῶν αὐτῶν τε τὸν πόλεμον

καὶ τὸν

καὶ τὸν καιρὸν αὐτοῦ, καὶ τὴν τῶν νομαντίνων ὁρμήν, ἐς ὅ,τι τρέψοιντο. τὰ δὲ ὀπίσω τοῦ στρατοπέδου πάντα ἐχορτολόγει, καὶ τὸν σῖτον ἔκειρεν ἔτι χλωρόν. ὡς δ' αὐτῷ ταῦτα ἐξετεθέριστο, καὶ ἐς τὸ πρόσθεν ἔδει βαδίζειν, ὁδὸς μὲν ἦν παρὰ τὴν νομαντίνην ἐπὶ τὰ πεδία σύντομος, καὶ πολλοὶ συνεβούλευον ἐς αὐτὴν βαδίζειν· ὁ δ' ἔφη τὴν ἐπάνοδον δεδιέναι, κούφων μὲν τότε τῶν πολεμίων ὄντων, καὶ ἐκ πόλεως ὁρμωμένων καὶ ἐς πόλιν ἀφορμώντων· οἱ δ' ἡμέτεροι, βαρεῖς ἐπανίασιν, ὡς ἀπὸ σιτολογίας, καὶ κατάκοποι, καὶ κτήνη καὶ ἁμάξας καὶ φορτία ἄγουσι· δυσχερής τε ὅλως καὶ ἀνόμοιος ὁ ἀγών. ἡσσωμένοις μὲν γὰρ πολὺς ὁ κίνδυνος, νικῶσι δέ, οὐ μέγα τὸ ἔργον, οὐδ' ἐπικερδές. εἶναι δ' ἄλογον, κινδυνεύειν ἐπὶ ὀλίγοις· καὶ στρατηγὸν ἀμελῆ, τὸν ἀγωνιζόμενον πρὸ τῆς χρείας· ἀγαθὸν δέ, τὸν ἐν μόναις παρακινδυνεύοντα ταῖς ἀνάγκαις. συγκρίνων δ' ἔφη καὶ τοὺς ἰατροὺς μὴ χρῆσθαι τομαῖς, μηδὲ καύσεσι πρὸ φαρμάκων. ταῦτα εἰπών, ἐκέλευεν τοῖς ἡγεμόσι τὴν μακροτέραν περιάγειν· καὶ συνεξῄει τότε μὲν ἐς τὸ πέραν τοῦ στρατοπέδου, ὕστερον δὲ ἐς τὰ οὐακκαίων, ὅθεν οἱ νομαντῖνοι τὰς τροφὰς ἐωνοῦντο· κείρων ἅπαντα, καὶ τὰ χρήσιμα ἐς τὰς ἑαυτοῦ τροφὰς συλλέγων, τὰ δὲ περισσὰ σωρεύων τε καὶ κατακαίων. ἐν δέ τινι πεδίῳ τῆς παλλαντίας, ὄνομα κοπλανίῳ, πολλοὺς ἐπὶ τῶν ὀρῶν ὑπὸ λόφοις ἔκρυψαν οἱ παλλαντῖνοι, καὶ ἑτέροις ἐς τὸ φανερὸν τοὺς σιτολογοῦντας ἠνώχλουν. ὁ δὲ Ρουτίλιον Ροῦφον συγγραφέα τῶνδε τῶν ἔργων, τότε χιλιαρχοῦντα, ἐκέλευσε τέσσαρας ἱππέων ἴλας λαβόντα, ἀνασχεῖν τοὺς ἐνοχλοῦντας. Ροῦφος μὲν οὖν ὑποχωροῦσιν αὐτοῖς ἀμέτρως εἵπετο, καὶ φεύγουσιν ἐς τὸν λόφον συνανεπήδα. ἔνθα τῆς ἐνέδρας ἐκφανείσης, ἐκέλευε τοὺς ἱππέας μήτε διώκειν, μήτε ἐπιχειρεῖν ἔτι· ἀλλ' ἐν προβολῇ τὰ δόρατα θεμένους ἑστάναι, καὶ ἐπιόντας ἀμύνεσθαι μόνον. ὁ δὲ Σκιπίων εὐθὺ ἀνατρέχοντας

αὐτοῦ παρὰ τὸ πρόσταγμα, δείσας εἵπετο κατὰ σπουδήν· καὶ ὡς εὗρε τὴν ἐνέδραν, ἐς δύο διεῖλε τοὺς ἱππέας, καὶ προσέταξεν αὐτῶν ἑκατέροις, παρὰ μέρος ἐμπηδᾶν τοῖς πολεμίοις, καὶ ἀκοντίσαντας ὁμοῦ πάντας, εὐθὺς ἀναχωρεῖν, οὐκ ἐς τὸν αὐτὸν τόπον, ἀλλ' ἀεὶ κατ' ὀλίγον προστιθέντας ὀπίσω καὶ ὑποχωροῦντας. οὕτω μὲν τοὺς ἱππέας ἐς τὸ πεδίον περιέσωσεν· ἀναζευγνύοντι δ' αὐτῷ καὶ ἀναχωροῦντι ποταμὸς ἦν ἐν μέσῳ δύσπορός τε καὶ ἰλυώδης· καὶ παρ' αὐτὸν ἐνήδρευον οἱ πολέμιοι. ὁ δὲ, μαθὼν, ἐξέκλινε τῆς ὁδοῦ, καὶ μακροτέραν ἦγε καὶ δυσένδροτον, νυκτός τε ὁδεύων, διὰ τὸ δίψος, καὶ φρέατα ὀρύσσων, ὧν τὰ πλέονα πικρὰ διείσκετο. τοὺς μὲν οὖν ἄνδρας ἐπιμόχθως περιέσωσεν· ἵπποι δέ τινες αὐτοῦ καὶ ὑποζύγια ὑπὸ τῆς δίψης ἀπώλοντο. καὶ καυκαίοις παροδεύων, ἐς οὓς παρεσπόνδησε Λούκουλλος, ἐκήρυξε καυκαίους ἐπὶ τὰ ἑαυτῶν ἀκινδύνως κατέρχεσθαι. καὶ παρῆλθεν ἐς τὴν ῥωμαίων χειμάσων· ἔνθα αὐτῷ καὶ Ἰουγούρθας ἐκ λιβύης ἀφίκετο, ὁ Μασανάσσου υἱωνός, ἄγων ἐλέφαντας δυοκαίδεκα, καὶ τοὺς συνταττομένους αὐτοῖς τοξότας τε καὶ σφενδονήτας. αἰεὶ δέ τι δῃῶν καὶ τὰ περικείμενα πορθῶν, ἔλαθε περὶ κώμην ἐνεδρευθεὶς, ἣν ἐκ τοῦ πλέονος τέλμα πηλοῦ περιεῖχεν, ἐπὶ δὲ θάτερα φάραγξ ἦν, καὶ ἀφανὴς ἐν ἐκείνῃ λόχος ὑπεκρύπτετο. τῆς οὖν στρατιᾶς τῷ Σκιπίωνι διῃρημένης, οἱ μὲν τὴν κώμην ἐπόρθουν, ἐσελθόντες, τὰ σημεῖα ἔξω καταλιπόντες, οἱ δὲ περιίππευον οὐ πολλοί· τούτοις συνεμπίπτουσιν οἱ λοχῶντες. καὶ οἱ μὲν αὐτοὺς ἀπεμάχοντο· ὁ δὲ Σκιπίων, (ἔτυχεν γὰρ περὶ τῆς κώμης παρὰ τὰ σημεῖα ἑστὼς) ἀνεκάλει τῇ σάλπιγγι τοὺς ἔνδον, καὶ πρὶν αὐτῷ γενέσθαι χιλίους, τοῖς ἱππεῦσιν ἐνοχλουμένοις ἐπεβοήθει. τοῦ δὲ δὲ τοῦ στρατοῦ τοῦ πλέονος ἐκ τῆς κώμης ἐκδραμόντος, ἐτρέψατο μὲν ἐς φυγὴν τοὺς πολεμίους, οὐ μὴν ἐδίωκε φεύγοντας, ἀλλ' ἐς τὸν χάρακα ἀνεχώρει, πεσόντων ἑκα-

πέραθεν ὀλίγων. μετ' οὐ πολὺ δὲ ἀγχοτάτω τῆς Νομαντίας δύο στρατόπεδα θέμενος, τῷ μὲν ἐπέστησε τὸν ἀδελφὸν Μάξιμον, τῷ δὲ αὐτὸς ἡγεῖτο. Νομαντίνων δὲ πυκνὰ ἐκτασσόντων, καὶ προκαλουμένων αὐτὸν ἐς μάχην ὑπερεώρα· οὐ δοκιμάζων ἀνδράσιν ἐξ ἀπογνώσεως μαχομένοις συμπλέκεσθαι μᾶλλον, ἢ συγκλείσας αὐτοὺς ἑλεῖν λιμῷ. φρούρια δ' ἐς τὰ περιθεὶς πολιορκίαν, ἐπιγράψας ἑκάστοις, οὓς ἔδει πέμπειν. ὡς δὲ ἦλθον, ἐς μέρη πολλὰ διεῖλεν αὐτούς, καὶ τὸν ἑαυτοῦ στρατὸν ἐπιδιεῖλεν. εἶτα ἡγεμόνας ἐπιστήσας ἑκάστῳ μέρει, προσέταξε περιταφρεύειν καὶ περιχαρακοῦν τὴν πόλιν. ἦν ἡ περίοδος, ἡ μὲν αὐτῆς Νομαντίας, τέσσαρες καὶ εἴκοσι στάδιοι· ἡ δὲ τοῦ χαρακώματος, ὑπὲρ τὸ διπλάσιον. καὶ τοῦτο διῃρεῖτο πᾶν *οἷα κατὰ μέρος ἕκαστον. καὶ προείρητο, εἴ τι ἐνοχλοῖεν οἱ πολέμιοι, σημεῖον ἐξαίρειν, ἡμέρας μὲν, φοινικίδα ἐπὶ δόρατος ὑψηλοῦ, νυκτὸς δὲ πῦρ, ἵνα τοῖς δεομένοις ἐπιθέοντες αὐτός τε καὶ Μάξιμος ἀμύνοιεν. ὡς δ' ἐξείργαστο πάντα αὐτῷ, καὶ τοὺς κωλύοντας εἶχεν ἱκανῶς ἀπομάχεσθαι, ἑτέραν τάφρον ὤρυσσεν οὐ μακρὰν ὑπὲρ ἐκείνην, καὶ σταυροὺς αὐτῇ περιέπηγνυ, καὶ τεῖχος ᾠκοδόμει· οὗ τὸ μὲν πάχος ἦν πόδες ὀκτώ, τὸ δὲ ὕψος, δέκα, χωρὶς τῶν ἐπάλξεων· πύργοι τε πανταχόθεν αὐτῷ διὰ πλέθρου περιέκειντο, καὶ λίμνην συνάπτουσαν οὐκ ἐνὸν περιτειχίσαι, χῶμα αὐτῇ περιέθηκεν, ἴσον τῷ τείχει καὶ τὸ βάθος καὶ τὸ ὕψος, ὡς ἂν εἴη καὶ τόδε ἀντὶ τείχους. οὕτω μὲν ὁ Σκιπίων. ὁ δὲ πρῶτος, ὡς ἐμοὶ δοκεῖ, περιετείχισε πόλιν, οὐ φυγομαχοῦσαν. τόν τε Δόριον ποταμὸν συμφερόμενον τῷ περιτειχίσματι, καὶ πολλὰ τοῖς Νομαντίνοις χρήσιμον ἔς τε ἀγορᾶς κομιδὴν καὶ διαπομπὴν ἀνδρῶν, ὅσοι κατ' αὐτὸν κολυμβῶντές τε καὶ σκάφεσι μικροῖς ἐλάνθανον, ἢ ἱστίοις, ὅτε λάβρον εἴη τὸ πνεῦμα, ἐβιάζοντο, ἢ κώπαις κατὰ τὸ ῥεῦμα. ζεῦξαι μὲν οὖν οὐκ

ἐδύνατο, πλατὺ ὄντα καὶ πάνυ ῥοῶδη· φρούρια δὲ ἀντὶ γεφύρας αὐτῷ δύο περιθεὶς, ἀπήρτησε καλωδίοις δοκοὺς μακρὰς ἐξ ἑκατέρου φρουρίου, καὶ ἐς τὸ πλάτος τοῦ ποταμοῦ μεθῆκεν, ἐχούσας ἐμπεπηγότα πυκνὰ ξίφη τε καὶ ἀκόντια. αἱ δ' ὑπὸ τοῦ ῥοῦ τοῖς ξίφεσι καὶ τοῖς ἀκοντίοις ἐμπίπλοντες, αἰεὶ περιστρεφόμεναι, οὔτε διανηχομένους, οὔτε ἐπιπλέοντας, οὔτε ὑποδυόμενους εἴων λαθεῖν. τοῦτο δ' ἦν οὗ μάλιστα ὁ Σκιπίων ἐπεθύμει, μηδενὸς αὐτοῖς ἐπιμιγνυμένου, μηδ' εἰσιόντος, ἀγνοεῖν αὐτοὺς ὅ, τι γίγνοιτο ἔξω· οὕτω γὰρ ἀπορήσειν ἀγορᾶς τε καὶ μηχανῆς πάσης. ὡς δ' ἡτοίμαστο πάντα, καὶ καταπέλται μὲν ἐπέκειντο τοῖς πύργοις ὀξυβελεῖς τε καὶ λιθοβόλοι, ταῖς δ' ἐπάλξεσι παρέκειντο λίθοι καὶ βέλη καὶ ἀκόντια, τὰ δὲ φρούρια [τοξ]όται καὶ σφενδονῆται κατεῖχον· ἀγγέλους μὲν ἐπέστησε πυκνοὺς κατὰ τὸ ἐπιτείχισμα πᾶν, οἳ νυκτός τε καὶ ἡμέρας ἔμελλον ἄλλοι παρ' ἄλλων τὸν λόγον ἐκδεχόμενοι, μηνύσειν αὐτῷ τὰ γιγνόμενα· κατὰ δὲ πύργον ἐκέλευσεν, εἴ τι γίγνοιτο, σημεῖον ἐκ τοῦ πρώτου τοῦ πονοῦντος αἴρεσθαι· καὶ τὸ αὐτὸ πάντας ἐπαίρειν, ὅταν τὸν ἀρξάμενον ἴδωσιν· ἵνα τὸ μὲν κίνημα παρὰ τοῦ σημείου θᾶσσον ἐπιγιγνώσκοιτο, τὸ δὲ ἀκριβὲς παρὰ τῶν ἀγγέλων. τῆς δὲ στρατιᾶς οὔσης σὺν τοῖς ἐπιχωρίοις ἐς ἑξακισμυρίους, τὸ μὲν ἥμισυ διετέτακτο αὐτῷ τειχοφυλακεῖν, καὶ ἐς τὰ ἀναγκαῖα, εἴ πη δεήσει, μεταχωρεῖν· δισμύριοι δὲ τειχομαχήσειν ἔμελλον, ὅτε χρεία γένοιτο. καὶ τούτοις ἐφέδρευον ἕτεροι μύριοι· χωρίον δὲ καὶ τούτων ἑκάστοις διετέτακτο· καὶ μεταπηδᾶν, εἰ μὴ κελεύσειεν, οὐκ ἐξῆν. ἐς δὲ τὸ τεταγμένον εὐθὺς ἀνεπήδων, ὅτε τι σημεῖον ἐπιχειρήσεως ἐπαρθείη. οὕτω μὲν τῷ Σκιπίωνι πάντα ἀκριβῶς διετέτακτο· οἱ δὲ νομαντῖνοι πολλάκις μὲν τοῖς φυλάσσουσιν ἐπεχείρουν, ἄλλοτε ἄλλῃ κατὰ μέρη· ταχεῖα δ' αὐτίκα καὶ καταπληκτικὴ τῶν ἀμυνομένων ἡ ὄψις ἦν· σημείων τε ὑψηλῶν

πανταχόθεν αἰρομένων, καὶ ἀγγέλων διαθεόντων, καὶ τῶν
τειχομάχων ἀθρόως ἀναπηδώντων ἐς τὰ τείχη, σαλπικτῶν
τε κατὰ πάντα πύργον ἐξοτρυνόντων· ὥστε τὸν κύκλον ὅ-
λον εὐθὺς ἅπασιν εἶναι φοβερώτατον, ἐς πεντήκοντα σταδίους ἀ-
πέχοντα ἐν περιόδῳ. καὶ τόνδε τὸν κύκλον ὁ Σκιπίων ἑκάστης
ἡμέρας τε καὶ νυκτὸς ἐπισκοπῶν περιῄει. ὁ μὲν δὴ τοὺς πολε-
μίους ὧδε συγκλείσας, οὐκ ἐς πολὺ ἀρκέσειν ἐνόμιζεν, οὔτε τρο-
φῆς ἔτι προσιούσης σφίσιν, οὔτε ὅπλων, οὔτ' ἐπικουρίας. Ῥη-
τογένης δὲ ἀνὴρ νομαντῖνος, ᾧ Καραύνιος ἐπίκλησις ἦν, ἄ-
ριστος ἐς ἀρετὴν νομαντίνων, πέντε πείσας φίλους σὺν παισὶν
ἄλλοις τοσοῖσδε καὶ ἵπποις τοσοῖσδε, ἐν νυκτὶ συννεφεῖ διῆλ-
θε, λαθὼν τὸ μεταίχμιον, κλίμακα φέρων πτυκτήν. καὶ φθά-
σας ἐς τὸ περιτείχισμα, ἀνεπήδησεν αὐτός τε καὶ οἱ φίλοι.
καὶ τοὺς ἑκατέρωθεν φύλακας ἀνελόντες, τοὺς μὲν θεράποντας
ἀπέπεμψαν ὀπίσω, τοὺς δ' ἵππους διὰ τῆς κλίμακος ἀναγα-
γόντες, ἐξίππευσαν ἐς τὰς ἀρουάκων πόλεις, σὺν ἱκετηρίαις,
δεόμενοι νομαντίνοις συγγενέσιν οὖσιν ἐπικουρεῖν. τῶν δ' ἀρουάκ-
κων οἱ μὲν οὐδ' ὑπήκουον αὐτῶν, ἀλλ' εὐθὺς ἀπέπεμπον, δε-
διότες· λουτία δὲ πόλις ἦν εὐδαίμων, τριακοσίους σταδίους
ἀφεστῶσα ἀπὸ νομαντίνων· ἧς οἱ μὲν νέοι περὶ τοὺς νομαντίνους
ἐσπουδάκεσαν, καὶ τὴν πόλιν ἐς συμμαχίαν ἐνῆγον· οἱ πρε-
σβύτεροι δ' ἐμήνυσαν κρύφα τῷ Σκιπίωνι· καὶ ὁ Σκιπίων
ὀγδόης ὥρας πυθόμενος, ἐξήλαυνεν αὐτίκα σὺν εὐζώνοις
ὅτι πλείστοις. καὶ ἅμα ἕῳ τὴν λουτίαν φρουρᾷ περιλαβών, ᾔ-
τει τοὺς ἐξάρχους τῶν νέων. ἐπεὶ δ' ἐξωρμηκέναι τῆς πόλεως
αὐτοὺς ἔλεγον, ἐκήρυξε διαρπάσειν τὴν πόλιν εἰ μὴ τοὺς ἄν-
δρας παραλάβοι. οἱ μὲν δὴ δείσαντες, προσῆγον αὐτούς, ἐς
τετρακοσίους γενομένους. ὁ δὲ τὰς χεῖρας αὐτῶν ἐκτεμών,
ἀνέστησε τὴν φρουράν. καὶ διαδραμὼν αὖθις ἅμα ἕῳ, τῆς
ἐπιούσης παρῆν ἐς τὸ στρατόπεδον. νομαντῖνοι δέ, κάμνοντες

ὑπὸ λιμοῦ, πέντε ἄνδρας ἔπεμπον ἐς τὸν Σκιπίωνα, οἷς εἴρητο μαθεῖν εἰ μετρίοις χρήσεται παραδοῦσιν αὑτούς. Αὔαρος δ᾽ αὐτῶν ἡγούμενος, πολλὰ μὲν περὶ τῆς προαιρέσεως καὶ ἀνδρείας τῶν νομαντίνων ἐσεμνολόγησε, καὶ ἐπεῖπεν ὡς οὐδὲ νῦν ἁμάρτοιεν, ὑπὲρ παίδων καὶ γυναικῶν καὶ ἐλευθερίας πατρίου κακοπαθοῦντες, ἐς τοσόνδε κακοῦ. διὸ καὶ μάλιστα, εἶπεν, ὦ Σκιπίων, ἄξιόν ἐστι σὲ ποσῆσδε ἀρετῆς γέμοντα, φείσασθαι γένους εὐψύχου τε καὶ ἀνδρικοῦ, καὶ προτεῖναι τὰ φιλανθρωπότερα τῶν κακῶν ἡμῖν· ἃ καὶ δυνησόμεθα ἐνεγκεῖν, ἄρτι πειρώμενοι μεταβολῆς. ὡς οὐκ ἐφ᾽ ἡμῖν ἔτι ἐστὶν, ἀλλ᾽ ἐπὶ σοί, τὴν πόλιν ἢ παραλαβεῖν, εἰ τὰ μέτρια κελεύοις, ἢ μαχομένην ὑπεριδεῖν ἀπολέσθαι. ὁ μὲν Αὔαρος ὧδε εἶπεν· ὁ δὲ Σκιπίων (ᾔδειτο γὰρ παρὰ τῶν αἰχμαλώτων τὰ ἔνδον) ἔφη δεῖν αὐτοὺς ἐγχειρίσαι τὰ κατὰ σφᾶς καὶ σὺν ὅπλοις παραδοῦναι τὴν πόλιν. ὧν ἀπαγγελθέντων, οἱ νομαντῖνοι, χαλεποὶ καὶ τέως ὄντες ὀργὴν, ὑπὸ ἐλευθερίας ἀκράτου καὶ ἀηθείας ἐπιταγμάτων, τότε καὶ μᾶλλον ὑπὸ τῶν συμφορῶν ἠγριωμένοι τε καὶ ἀλλόκοτοι γεγονότες, τὸν Αὔαρον καὶ τοὺς σὺν αὐτῷ πέντε πρέσβεις ἀπέκτειναν, ὡς κακῶν ἀγγέλους, καὶ τὸ σφέτερον ἀσφαλὲς ἴσως διῳκημένους παρὰ τῷ Σκιπίωνι. μετ᾽ δ᾽ οὐ πολὺ πάντων αὐτοὺς τῶν ἐδεστῶν ἐπιλιπόντων, οὐ καρπὸν ἔχοντες, οὐ πρόβατον, οὐ πόαν, πρῶτα μὲν, ὥσπερ τινὲς ἐν πολέμων ἀνάγκαις, δέρματα ἕψοντες ἐσιχοῦντο. ἐπιλιπόντων δ᾽ αὐτοὺς καὶ τῶν δερμάτων, ἐσαρκοφάγουν, ἕψοντες τὰ ἀνθρώπεια, πρῶτα μὲν τὰ τῶν ἀποθνησκόντων, κοπτόμενα ἐν μαγειρείοις· ἐπὶ δ᾽ ἐκείνοις, τῶν νοσούντων καταφρονοῦντες, καὶ τοὺς ἀσθενεστέρους ἐβιάζοντο οἱ δυνατώτεροι. κακῶν δ᾽ οὐδὲν αὐτοῖς ἀπῆν, ἠγριωμένοις μὲν τὰς ψυχὰς ὑπὸ τῶν τροφῶν, τεθηριωμένοις δὲ τὰ σώματα ὑπὸ λιμοῦ καὶ λοιμοῦ καὶ κόμης καὶ χρόνου. οὕτω δ᾽ ἔχοντες αὑτοὺς ἐπέτρεπον τῷ Σκιπίωνι. ὁ δ᾽ ἐκέλευεν αὐτοὺς

τῆς μὲν ἡμέρας ἐκείνης συνενεγκεῖν τὰ ὅπλα ἔνθα συνέταξε· τῆς δ᾽ ἐπιούσης προσελθεῖν ἐς ἕτερον χωρίον. οἱ δ᾽ ὑπερέβαλον τὴν ἡμέραν, ὁμολογήσαντες ὅτι πολλοὶ τῆς ἐλευθερίας ἔτι ἔχονται, καὶ ἐθέλουσιν αὑτοὺς ἐξαγαγεῖν τοῦ βίου. τὴν οὖν ἡμέραν ᾔτουν* ἐς τοῦ θανάτου τὴν διάθεσιν. τόσος δὲ ἔρως ἐλευθερίας καὶ ἀνδραγαθίας ἦν ἐν πόλει βαρβάρῳ τε καὶ σμικρᾷ. ἐς γὰρ ὀκτακισχιλίους ἐπ᾽ εἰρήνης γενόμενοι, οἷα μὲν καὶ ὅσα ῥωμαίους ἔδρασαν, οἵας δὲ συνθήκας αὐτοῖς ἔθεντο ἐπὶ ἴσῃ καὶ ὁμοίᾳ, οὐδ᾽ ἔπειτα ταῦτα συνθέσθαι ῥωμαίων ὑφιστάντων· οἷον δ᾽ ὄντα τὸν τελευταῖον στρατηγὸν ἓξ μυριάσιν αὐτοὺς περικαθήμενον προὐκαλέσαντο πολλάκις ἐς μάχην. ὁ δ᾽ ἦν ἄρα τι στρατηγικώτερος αὐτῶν, ἐς χεῖρας οὐκ ἰὼν θηρίοις, ἀλλὰ τῷ λιμῷ σφᾶς κατεργαζόμενος, ἀμάχῳ κακῷ· ᾧ δὴ καὶ μόνῳ ληφθῆναί τε δυνατὸν ἦν ἄρα νομαντίνους, καὶ ἐλήφθησαν μόνῳ. ἐμοὶ μὲν δὴ ταῦτα περὶ νομαντίνων εἰπεῖν ἐπῆλθεν, ἐς τὴν ὀλιγότητα αὐτῶν καὶ φερεπονίαν ἀφορῶντι καὶ ἔργα πολλά, καὶ χρόνον ὅσον διεκαρτέρησαν. οἱ δὲ πρῶτα μὲν αὑτοὺς οἱ βουλόμενοι διεχρῶντο, ἕτερος ἑτέρως· οἱ λοιποὶ δ᾽ ἐξῄεσαν τρίτης ἡμέρας ἐς τὸ δεδομένον χωρίον, δυσόρατοί τε καὶ ἀλλόκοτοι πάμπαν ὀφθῆναι. οἷς τὰ μὲν σώματα ἦν ἀκάθαρτα καὶ τριχῶν καὶ ὀνύχων καὶ ῥύπου μεστά, ὀδώδεσαν δὲ χαλεπώτατον· καὶ ἐσθὴς αὐτοῖς ἐπέκειτο ἀπελλὴς, πιναρά, καὶ ἥδε καὶ οὐχ ἧσσον δυσώδης. ἐφαίνοντο δὲ τοῖς πολεμίοις, ἐλεεινοὶ μὲν ἀπὸ τῶνδε, φοβεροὶ δ᾽ ἀπὸ τῶν βλεμμάτων. ἔτι γὰρ αὐτοῖς ἐνεώρων ἔκ τε ὀργῆς καὶ λύπης καὶ πόνου καὶ συνειδότος ἀλληλοφαγίας. ἐπιλεξάμενος δ᾽ αὐτῶν πεντήκοντα ὁ Σκιπίων ἐς θρίαμβον, τοὺς λοιποὺς ἀπέδοτο, καὶ τὴν πόλιν κατέσκαψεν. δύο μὲν τάσδε πόλεις δυσμαχωτάτας ἑλὼν στρατηγὸς ὅδε ῥωμαίων, καρχηδόνα μὲν, αὐτῶν ῥωμαίων ψηφισαμένων, διὰ μέγεθος πόλεώς τε καὶ ἀρχῆς, καὶ ἀνδρείαν

γῆς καὶ θαλάσσης· νομαντίαν δὲ, σμικράν τε καὶ ὀλιγάνθρωπον, οὔπω τι ῥωμαίων περὶ αὐτῆς ἐγνωκότων, αὐτὸς, εἴτε συμφέρειν ῥωμαίοις ἡγούμενος, εἴτε ἄκρος ὢν ὀργὴν καὶ φιλόνεικος ἐς τὰ λαμβανόμενα, εἴτε ὡς ἔνιοι νομίζουσι, τὴν δόξαν ἡγούμενος διώνυμον ἐπὶ τοῖς μεγάλοις γίγνεσθαι κακοῖς. καλοῦσι γοῦν αὐτὸν οἱ ῥωμαῖοι μέχρι νῦν, ἀπὸ τῶν συμφορῶν ἃς ἐπέθηκεν ταῖς πόλεσιν, ἀφρικανόν τε καὶ νομαντῖνον. τότε δὲ τὴν γῆν τῶν νομαντίνων τοῖς ἐγγὺς οἰκοῦσι διελὼν, καὶ ταῖς ἄλλαις πόλεσι χρηματίσας, καὶ εἴ τι ἦν ὕποπτον, ἐπιπλήξας τε καὶ ζημιώσας χρήμασιν, ἀπέπλευσεν ἐπ' οἴκου. ῥωμαῖοι δὲ, ὡς ἔθος, ἐς τὰ προσειλημμένα τῆς ἰβηρίας ἔπεμψαν ἀπὸ τῆς βουλῆς ἄνδρας δέκα, τοὺς καταστησομένους αὐτὰ εἰς εἰρήνην ὅσα Σκιπίων τε ἔλαβε, καὶ Βροῦτος πρὸ τοῦ Σκιπίωνος ὑπηγάγετο, ἢ ἐχειρώσατο. χρόνῳ δ' ὕστερον ἀποστάσεων ἄλλων ἐν ἰβηρίᾳ γιγνομένων, Καλπούρνιος Πείσων στρατηγὸς ᾑρέθη. καὶ αὐτὸν διεδέξατο μὲν Σερουίλιος Γάλβας· κίμβρων δ' ἐπιστρατευόντων τῇ ἰταλίᾳ, καὶ σικελίας πολεμουμένης τὸν δεύτερον δουλικὸν πόλεμον, στρατιὰν μὲν ἐπὶ ἰβηρίαν οὐκ ἔπεμπον, ὑπ' ἀσχολίας· πρέσβεις δὲ ἀπέστελλον, οἳ τὸν πόλεμον ἔμελλον ὅπῃ δύναιντο, καταθήσεσθαι. κίμβρων δὲ ἐξελαθέντων, Τίτος Δείδιος ἐπελθὼν, οὐακκαίων μὲν ἔκτεινεν ἐς δισμυρίους, τερμισὸν δὲ μεγάλην πόλιν, αἰεὶ δυσπειθῆ ῥωμαίοις γιγνομένην, ἐξ ἐρυμνοῦ κατήγαγεν ἐς τὸ πεδίον, καὶ ἐκέλευσεν οἰκεῖν ἀτειχίστους. κολένδαν δὲ προσκαθίσας ἐνάτῳ μηνὶ παρέλαβεν, ἐγχειρίσασαν ἑαυτὴν καὶ τοὺς κολενδέας ἅπαντας μετὰ παίδων καὶ γυναικῶν ἀπέδοτο. πόλιν δ' ἑτέραν τῆς κολένδης πλησίον ᾤκουν μιγάδες κελτιβήρων, οὓς Μάριος συμμαχήσαντας αὐτῷ κατὰ λυσιτανῶν, τῆς βουλῆς ἐπιτρεπούσης, ᾠκίκει πρὸ πέντε ἐνιαυτῶν. ἐλῄστευον δ' ἐξ ἀπορίας οὗτοι· καὶ κρίνας αὐτοὺς ὁ Δείδιος ἀνελεῖν, συνθεμένων αὐτῷ τῶν δέκα

πρέσβεων ἔτι παρόντων, ἔφη τοῖς ἐπιφανέσιν αὐτῶν ἐθέλειν τὴν Κολενδέων χώραν αὐτοῖς προσορίσαι πενομένοις. ἀσπαζομένους δὲ ὁρῶν, ἐκέλευεν τῷ δήμῳ, ταῦτα μὲν τε *εἴκοντας ἥκειν μετὰ γυναικῶν καὶ παίδων τὴν χώραν μεριουμένους· ἐπεὶ δ' ἀφίκοντο, προσέταξε τοὺς στρατιώτας ἐκ τοῦ χάρακος ἐξελθεῖν, καὶ τοὺς ἐνεδρευομένους εἴσω παρελθεῖν, ὡς ἀπογραψόμενος αὐτῶν ἔνδον τὸ πλῆθος· ἐν μέρει μὲν, ἀνδρῶν, ἐν μέρει δὲ, παίδων καὶ γυναικῶν· ἵνα ἐπιγνοίη πόσην χώραν αὐτοῖς δέοι διελεῖν. ὡς δὲ παρῆλθον ἐς τὴν τάφρον καὶ τὸ χαράκωμα, περιστήσας αὐτοῖς τὸν στρατὸν ὁ Δείδιος, ἔκτεινε πάντας. καὶ ἐπὶ τοῖσδε Δείδιος μὲν καὶ ἐθριάμβευσεν· πάλιν δὲ τῶν Κελτιβήρων ἀποστάντων, Φλάκκος ἐπιπεμφθεὶς ἔκτεινε δισμυρίους. ἐν δὲ Βελγήδῃ πόλει, ὁ δὲ δῆμος ἐς ἀπόστασιν ὁρμῶν, τὴν βουλὴν ὀκνοῦσαν ἐνέπρησεν αὐτῷ βουλευτηρίῳ· ὁ δὲ Φλάκκος ἐπελθὼν ἔκτεινε τοὺς αἰτίους. τοσάδε μὲν εὗρον ἄξια λόγου Ῥωμαίοις ἐς τότε πρὸς Ἴβηρας αὐτοὺς γενόμενα. χρόνῳ δ' ὕστερον στασιαζόντων ἐν Ῥώμῃ Σύλλα τε καὶ Κίννα, καὶ ἐς ἐμφυλίους πολέμους καὶ στρατόπεδα κατὰ τῆς πατρίδος διῃρημένων, Κόϊντος Σερτώριος ἐκ τῆς Κίννα στάσεως αἱρεθεὶς τῆς Ἰβηρίας ἄρχειν, Ἰβηρίαν τε αὐτὴν ἐπανέστησε Ῥωμαίοις, καὶ πολὺν στρατὸν ἐγείρας, καὶ βουλὴν τῶν ἰδίων φίλων ἐς μίμημα τῆς συγκλήτου καταλέξας, ἤλαυνεν ἐς Ῥώμην ἐπὶ τόλμης καὶ φρονήματος λαμπροῦ καὶ τἆλλα ὢν ἐς θρασύτητα περιώνυμος· ὥστε τὴν βουλὴν δείσασαν, ᾑρέσθαι τοὺς παρὰ σφίσιν ἐπὶ μεγίστης τότε δόξης στρατηγούς, Κεκίλιόν τε Μέτελλον μετὰ πολλοῦ, καὶ Γναῖον Πομπήϊον ἐπ' ἐκείνῳ μεθ' ἑτέρου στρατοῦ, ἵνα τὸν πόλεμον ὅπῃ δύναιντο, ἐξωθοῖεν ἐκ τῆς Ἰταλίας, ἐν διχοστασίᾳ τότε μάλιστα οὔσης. ἀλλὰ Σερτώριον μὲν τῶν στασιωτῶν τις αὐτοῦ Περπέρνας ἀνελών, ἑαυτὸν ἐπὶ Σερτωρίῳ στρατηγὸν τῆς ἀποστάσεως ἀπέφηνε. Περπέρνῃ δ'

ἔκλεισε μάχῃ Πομπήιος. καὶ ὁ πόλεμος ὅδε θορυβήσας δὴ τῷ φόβῳ μάλιστα ῥωμαίους, διελύθη. τὸ δὲ ἀκριβὲς αὐτοῦ δηλώσει τὰ περὶ Σύλλαν ἐμφύλια. μετὰ δὲ τὸν Σύλλα θάνατον Γάιος Καῖσαρ αἱρεθεὶς ἰβηρίας στρατηγεῖν, ὥστε καὶ πολεμεῖν οἷς δεήσειεν, ὅσα τῶν ἰβήρων ἐσαλεύετο, ἢ ῥωμαίοις ἔτι ἔλειπεν, πολέμῳ συνηνάγκασεν πάντα ὑπακούειν· καὶ ἵνα αὖθις ἀφιστάμενα Ὀκτάβιος Καῖσαρ ὁ τοῦ Γαΐου παῖς ὁ Σεβαστὸς ἐπίκλην, ἐχειρώσατο· καὶ ἐξ ἐκείνου μοι δοκοῦσι ῥωμαῖοι τὴν ἰβηρίαν, ἣν δὴ νῦν ἱσπανίαν καλοῦσιν, ἐς τρία διαιρεῖν, καὶ στρατηγοὺς ἐπιπέμπειν ἐτησίους μὲν ἐς τὰ δύο ἡ βουλή, τὸν δὲ τρίτον βασιλεὺς ἐφ᾽ ὅσον δοκιμάσειεν.

HENRICI STEPHANI typographi in Appiani libros ἀννιβαϊκὴν & ἰβηρικὴν castigationes.

Pag. 120. Versu πρᾶξιν] περὶ τῶν εὐθυνῶν. Quum haberet exemplar nostrum πρὸς τῶν εὐθυνῶν, ego ex πρὸς feci περί. Vult enim dicere πρὶν τὰς εὐθύνας ἀποδοῦναι, quod pluribus verbis ipsemet ἐν ἰβηρικῇ, pag. 159, dicit, ἔτι τὰς εὐθύνας τῆς προτέρας στρατηγίας ὀφείλων.

V. φθάγγρισιν] ὅρος ἰβηρίας, μὴ διαβαίνειν. Hic locus ex iis quæ ἐν ἰβηρικῇ dicuntur pag. 60, facilè intelligitur. Deesse autem verba inter ἰβηρίας & μὴ διαβαίνειν, neque affirmare, neque negare ausim. quia durum est quidem hoc genus loquendi, sed quod ferri tamen posse videatur.

P. 121. V. αἱ] ὑὸ ὧν. Rectius legeretur ἑῶ.

P. 122. V. ὁδοιπορῶν] ἐν τριβῆς. Aliquis primo aspectu fortasse iudicauerit legendum ἐντριβὴς, vt contrà dicitur ἀτριβὴς ὁδὸς, via non trita, μὴ τετριμμένη. Ego verò ita rectè legi posse scio: sed quum alicubi me legere meminerim hãc phrasin, τῶν ὁδῶν ἡ μάλιστα ἐν τριβῇ, vtro modo scripserit Appianus, ἐντριβὴς an ἐν τριβῇ, quærendum esse puto.

V. πείγετο] πάρεστιν ἐς τὴν ἰταλίαν. In nostro exemplari cum alia multa erant menda, tum verò passim falsæ interpunctiones: ex quibus quamplurimas emendaui, in quibus videlicet apertissimus erat error: nonnullas, quæ à contentioso aliquo defendi posse videbantur, mutare non sum ausus. quanquam hìc nemo mihi persuaserit πάρεστιν iungẽdum esse cum ἐς τὴν ἰταλίαν, non autem cum ἠπείγετο. quomodo enim quis dicatur aliquò proficisci & eò iã aduenisse?

V.κτω] ἀναστάσεως. Nescio an ferri possit hoc verbum, an potius legendum sit ἀναζεύξεως.

P.123.P.καὶ τότε] τὰ κέρατα. In exemplari scriptū erat κέρα, ego κέρατα reposui. sed & distinctio post κατεῖχον delenda fuit. verūtamen ne tum quidem quū eam expunxeris, suspicione carebit hæc periodus.

P.124.V.δεδιότων] φυγεῖν. Reponendum puto φυγή. vt pag.126, ῥωμαίων δὴ εὐθὺς ἦν φυγὴ καὶ φόνος κεκυκλωμένων.

P.125.V.αὐτῶν] ἀμφὶ τὸν. Fortasse legendum τῶν ἀμφὶ τὸν ἰόνιον ἀκτήν. Neque enim existimandum est ἰόνιον iungi cum ἀκτήν (quod si ita esset, tamen τὴν nō τὸν esset scribendum) sed ἰόνιον dici, subaudito nomine κόλπον. vt modò dixerat ἐς τὸν ἰόνιον φθάνοντα, & statim pòst dicit, παρὰ τὸν ἰόνιον οἰκῆσαι.

